eul_wid: oow-ad

*Φίλων ὁ Βύβλιος* · Philon of Byblos

# On the Meanings of Words

*Περὶ*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine (frg)
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

t 1 ΕΡΕΝ 〈Ν〉 ΙΟΥ ΦΙΛΩΝΟΣ ΠΕΡΙ ΔΙΑΦΟΡΟΥΣ ΣΗΜΑΣΙΑΣ ἀρχὴ τοῦ α ἆθλον ἐπάθλου διαφέρει. [1]

alpha 1 ἆθλον μὲν γὰρ καλεῖται αὐτὸς ὁ ἀγών, ἔπαθλον δὲ τὸ διδόμενον τῷ νικήσαντι δῶρον. ἄστρον ἀστέρος διαφέρει.

alpha 2 ἄστρον μὲν γάρ ἐστι τὸ ἐκ πολλῶν ἀστέρων συνιστάμενον σχῆμα, ἀστὴρ δὲ αὐτὸς ὁ λάμπων. ἀστρολογία ἀστρονομίας διαφέρει.

alpha 3 ἀστρονομία μέν ἐστιν ἡ κατάληψις τῶν ἀστέρων, ἀστρολογία δὲ ἡ τὰ ἐκ τῶν κινήσεων τῶν ἀστέρων ἀποτελέσματα δηλοῦσα ἐπιστήμη. ἀράχνη ἀράχνου διαφέρει.

alpha 4 ἀράχνη μὲν γάρ ἐστι τὸ λεπτότατον ὕφος τοῦ ζῴου, τουτέστι τοῦ ἀράχνου· ἀράχνης δέ ἐστιν αὐτὸ τὸ ζῷον, ἀρσενικῶς ἐκφωνούμενος. ἀνὴρ ἀνθρώπου διαφέρει.

alpha 5 ἀνὴρ μὲν γάρ ἐστι κυρίως ὁ ἐπ' ἀρετῇ τινι διαπρέπων, ἄνθρωπος δὲ ὁ ἐπὶ μηδενὶ διαπρέπων. ἀνάθημα ἀναθέματος διαφέρει.

alpha 6 ἀνάθημα μὲν γάρ ἐστιν, τὸ διὰ τοῦ η γραφόμενον, τὸ ἀνιερούμενόν τε καὶ ἀνατιθέμενον ἱερῷ τινι τόπῳ· ἀνάθεμα δέ, διὰ τοῦ ε ἐκφερόμενον, τὸ ὕβρεως ἐχόμενον καὶ ἀναθεματισμοῦ. ἄγροικος βαρυτόνως καὶ ἀγροῖκος προπερισπωμένως διαφέρει.

alpha 7 ἄγροικος μὲν βαρυτόνως ὁ γνώσεως ἄμοιρος· ἀγροῖκος δὲ προπερισπωμένως ὁ ἐν ἀργῷ διατρίβων 〈ἢ〉 ὁ μὴ ἥμερος, ἴσος τῷ ἄγριος. ἀποκήρυκτος καὶ ἐκποίητος διαφέρει.

alpha 8 ἀποκήρυκτος μέν ἐστιν ὁ ἐπ' ἀδικήμασί τισι τῆς οἰκίας ἐκβληθείς· ἐκποίητος δὲ ὁ δοτὸς εἰσποιητός. ἀπεκήρυξε καὶ ἐπεκήρυξε διαφέρει.

alpha 9 κηρῦξαι μὲν καὶ ἀποκηρῦξαι λέγουσιν ἐπὶ το 〈ῦ〉 ὑπὸ κήρυκα ἀποδόσθαι τι. Μένανδρος (fr. 658 Koe.—Th. 2 ) 'ἀπεκήρυξεν αὐτὴν Ἀγαμέμνων', οἷον ὑπὸ κήρυκι ἐπώλησεν. ἐπικηρῦξαι δὲ τὸ ὑποσχέσθαι χρήματα δώσειν τῷ συλλαβόντι καὶ ἀποκτείναντί τινα τῶν καταδικασθέντων. ἀπαράσκευος ἀπαρασκευάστου διαφέρει. [5]

alpha 10 ὁ μὲν γὰρ δι' ἑαυτοῦ τὴν χορηγίαν ἔχων ἀπαράσκευος ἂν λέγοιτο, ὁ δὲ ἐξ ἑτέρου ἀπαρασκευάστος. ὁ μὲν γὰρ ἀρχιερεὺς 〈ὁ〉 μονομάχους δοῦναι 〈θέλων〉 ἀπαράσκευος· οἱ δὲ μονομάχοι ἀπαρασκευάστοι. τὸ μὲν γὰρ διὰ τὸ παθητικὴν ἔχειν ἔμφασιν ὑφ' ἕτερον πίπτει,

τὸ δὲ αὐτεξούσιόν ἐστιν. ὁ οὖν ἐναλλάσσων ταῦτα ἀκυρολογεῖ. ἁλίπαστον ἁλισπάρτου διαφέρει.

alpha 11 τὸ μὲν γὰρ ἁλσὶ πεπασμένον κρέας ἢ ἰχθὺν ἔλεγον ἁλίπαστον, ἁλίσπαρτον δὲ τὴν ἁλσὶ κατεσπαρμένην χώραν· τῶν γὰρ ἀρχαίων τινὲς βαρβάρων δυσμενῶς διακείμενοι πρὸς τ[οὺς Ἕλληνας τ]ὰς χώρας αὐτῶν κατέσπειρον ἁλσὶν εἰς τὸ μηκέτι δύνασθαι φέρειν καρπούς· ὅθεν καὶ ὁ βίος τοὺς ἠκι 〈σ〉 μένους δεινῶς καὶ δυσθεράπευτα ἔχοντας τὰ σώματα ἁλισπάρτους καλεῖ. ἄγειν καὶ φέρειν διαφέρει.

alpha 12 ἄγεται μὲν γὰρ τὰ ἔμψυχα· φέρεται δὲ τὰ ἄψυχα. καὶ Ὅμηρος (Il. v 483 sq.)· ‘οὐ τί μοι ἐνθάδε τοῖον, οἷον 〈κ’ ἠὲ〉 φέροιεν Ἀχαιοὶ ἤ κεν ἄγοιεν‘. καὶ πάλιν (od. iv 622)· ‘οἱ δ’ ἦγον μὲν μῆλα, φέρον δ’ εὐήνορα οἶνον‘. ἄρρωστος ἀρρωστοῦντος διαφέρει.

alpha 13 ἄρρωστος μὲν γάρ ἐστιν ὁ ἀδυνατῶν ἐπιτελεῖν τι κατὰ τὰς ὀρέξεις· ἀρρωστεῖ δὲ ὁ νοσῶν. οὕτως Ἀριστοτέλης (fr. om. r.)· αὖθις καὶ αὖθι χωρὶς τοῦ ς διαφέρει.

alpha 14 τὸ μὲν γὰρ αὖθις πάλιν ἢ μετὰ ταῦτα, τὸ δὲ αὖθι καὶ τὸ αὐτόθι. κακῶς οὖν Καλλίμαχός φησιν (fr. 1, 35 Pf.)· ‘αὖθι τόδ’ ἐκδύοιμι, τό μοι βάροσ‘, ἀντὶ τοῦ μετὰ ταῦτα. καὶ ἐν τῇ Ἑκάλῃ (fr. 238, 4 Pf.)· ‘τῷ 〈ῥα〉 , πᾶτερ, μεθίει με, σόον δέ κεν αὖθι δέχοιο‘, ἀντὶ τοῦ πάλιν. ἀρρωδεῖν καὶ ὀρρωδεῖν ἐναντίον ἀλλήλοις.

alpha 15 τὸ μὲν γὰρ ὀρρωδεῖν διὰ τοῦ ο σημαίνει τὸ εὐλαβεῖσθαι· ἐξηγοῦνται δὲ τὴν λέξιν οὕτως· ὅρρος λέγεται ὁ περὶ τοὺς γλουτοὺς τόπος, ὅντινα ταῦρον λέγουσιν· ὅθεν καὶ τῶν ὀρνέων ὁ τόπος οὗτος ὀρροπύγιον καλεῖται, οὐχ, ὥς τινες ἀγνοοῦντες, ὀρθοπύγιον. ἐτύμως εἴρηται, ὅρρος ὢν ὁ τῆς πυγῆς καὶ οἱονεὶ ὀρροπύγιον. οἱ δὲ εὐλαβούμενοι περί τινος ἀνασπᾶν εἰώθασι τὸ αἰδοῖον, πολλάκις δὲ τὰ ἄλογα τῶν ζῴων ὑποστέλ 〈λ〉 ειν εἴωθε τὴν οὐρὰν ὅτε τι εὐλαβεῖται. εὐλόγως οὖν ἀπὸ τοῦ παρακολουθοῦντος τὸ ὀρρωδεῖν εἴρηται ἐπὶ τοῦ εὐλαβεῖσθαι. καὶ Εὐριπίδης τὸν Περσέα εἰσάγει λέγοντα (Andromed. fr. 130 n. 2 )· ‘τὰς γὰρ συμφορὰς τῶν κακῶς πεπραγότων οὐπώποθ’ ὕβρις’, αὐτὸς ὀρρωδῶν παθεῖν‘. καὶ τὸ [μὲν] ὀρρωδεῖν τοιοῦτον· τὸ δὲ ἀρρωδεῖν 〈τὸ ἐναντίον〉 , τοῦτ’ ἔστιν οὐκ εὐλαβεῖσθαι, ἀλλὰ καταφρονεῖν καὶ τεθαρρηκέναι. ἀπόνοια ἀνοίας διαφέρει.

alpha 16 ἀπόνοια 〈μὲν〉 μανία τίς ἐστιν καὶ ὑπερηφανία μισουμένη· ἡ δὲ ἄνοια στέρησις οὖ[σα] φρονήσεως ἐλεεῖται μᾶλλον ἢ μισεῖται. ἀμύνεσθαι καὶ ἀμύνειν διαφέρει.

alpha 17 ἀμύνεσθαι μὲν γὰρ [τὸ] κολάζειν τοὺς προαδικήσαντας, ἀμύνειν δὲ βοηθεῖν. ἀτελὲς καὶ ἀτέλε 〈σ〉 τον διαφέρει.

alpha 18 ἀτελὲς μὲν γ[ὰρ] τὸ μήπω τετελεσμένον, ἀτέλεστον δὲ τὸ ἀδύνατον τελεσθῆναι. οἱ οὖν ἐναλλάσσοντες ταῦτα ἀ[κυ]ρολογοῦσιν. ἀπολογεῖσθαι τοῦ ἀπολογίζεσθαι διαφέρει.

alpha 19 ἀπολογίζεσθαι μὲν γὰρ ῥητέον τὸ ἀποδοῦναι τὸν λόγον τῶν δαπανημάτων· καὶ γὰρ τὸ ἁπλοῦν λογίζεσθαι οἱ ἀριθμητικοὶ λέγουσιν. ἀπολογεῖσθαι δὲ τὸ λόγῳ τὴν κατηγορίαν ἀνασκευάζειν. αἰτῶ καὶ αἰτοῦμαι διαφέρει.

alpha 20 τὸ μὲν γὰρ α[ἰτῶ] ἐπὶ τοῦ λαβεῖν καὶ μὴ ἀποδοῦναι, τὸ δὲ αἰτοῦμαι ἐπὶ τοῦ χρῆσθαι εἰς ἀπόδοσιν. Μένανδρος ἐν τῷ Δυσκόλῳ (fr. 123 et 410 Koe.— Th. 2 ) διαστέλλει τὴν διαφοράν· ‘οὐ πῦρ γὰρ αἰτῶν, οὐδὲ λοπάδ’ αἰτούμενοσ‘. αἰδὼς καὶ αἰσχύνη διαφέρει.

alpha 21 ἡ μὲν γὰρ αἰδώς ἐστιν ἐντροπὴ πρὸς ἕκαστον ὅν 〈τισ〉 σεβασμίως ἔχει, αἰσχύνη δὲ ἐφ’ οἷς ἕκαστος ἁμαρτάνων αἰσχύνεται ὡς μὴ δέον τι πράξας. καὶ αἰδεῖται μέν τις τὸν πατέρα, αἰσχύνεται δὲ μεθύσκεσθαι. διαστέλλει δὲ καὶ Ἀριστόξενος ὁ μουσικὸς (fr. 42a Wehrli) ἐν Νόμῳ παιδευτικῷ. φησὶ γοῦν διαφορὰν τήνδε νομιστέον αἰδοῦς καὶ αἰσχύνης, ὅτι ἡ μὲν αἰδὼς πρὸς ἡλικίαν, πρὸς ἀρετήν, πρὸς ἐμπειρίαν, πρὸς εὐδοξίαν. ὁ γὰρ ἐπιστάμενος αἰδεῖσθαι πρὸς

ἑκάστην τῶν εἰρημένων ὑπεροχὴν πρ[ο]σέρχεται οὕτω διακείμενος οὐ διὰ τὸ ἡμαρτηκέναι τι, ἀλλὰ ⟨διὰ⟩ τὸ σέβεσθαι καὶ τιμᾶν τὰς προειρημένας ὑπεροχάς. ἡ δὲ αἰσχύνη πρῶτον μὲν πρὸς πάντα ἄνθρωπον ἐπὶ τοῖς νομιζομένοις αἰσχροῖς εἶναι καὶ ⟨ἔπειτα πρὸς⟩ ἑαυτόν· αἰσχύνεται γὰρ καὶ ἑαυτόν. ἄμητος καὶ ἀμητὸς διαφέρει.

alpha 22 ἄμητος γὰρ ὁ καιρὸς τοῦ θέρους· ἀμητὸς δὲ ὁ θερισμός, οἱονεὶ αὐτὸς ὁ ἀμώμενος καρπός. ἀπολείπει καὶ ἐκβάλλει ⟨διαφέρει⟩.

alpha 23 ἀπολείπει μὲν ἡ γυνὴ τὸν ἄνδρα, ἐκβάλλει δὲ ὁ ἀνὴρ τὴν γυναῖκα. ἀντικρὺ μὲν τὸ ἐπ’ εὐθείας ὀξυτόνως· ἄντικρυς δὲ τὸ διαρρήδην καὶ φανερῶς.

alpha 25 ἀμφὶ μὲν τὸ περί, ἀμφὶς δὲ χωρίς, ἀμφοτέρωθεν. ἀκτ[α]ὶ μὲν οἱ πετρώδεις τόποι οἱ ἐν θαλάσσῃ παρακείμενοι, θῖνες δὲ οἱ αἰγιαλοί.

alpha 27 ἀποφορὰ καὶ εἰσφορὰ διαφέρει. ἀποφορὰ γάρ ἐστι τὸ ὑπὸ τῶν ὑποτεταγμένων δούλων τελούμενον τοῖς δεσπόταις· τὸ δὲ ὑπὸ τῶν πολιτῶν δημοσίᾳ διδόμενον ἀποτέλεσμα εἰσφορά. ἁρπαγὴ καὶ ἁρπάγη διαφέρει παρὰ τοῖς Ἀττικοῖς, ὥς φησι Τρύφων ἐν τρίτῳ Περὶ Ἀττικῆς προσῳδίας (fr.

alpha 28 12 Vels.). ἐὰν μὲν γὰρ ὀξυτόνως προενεγκώμεθα καθάπερ ἐν τῇ συνηθείᾳ, τὴν αἰφνίδιον καὶ μετὰ [βίας] ἀφαίρεσιν δηλώσει· ἐὰν δὲ βαρυτόνως ἁρπάγην ὡς ἀνάγκην, ἐν ᾗ ἐκ τῶν φρεάτων τοὺς κάδους ἐξαίρουσιν. καὶ παρὰ Μενάνδρῳ (fr. 657 Koe. —Th. 2 ) ἀναγινώσκομεν· ‘ποτήριον, τράπεζαν, ἁρπάγην κάτω, κάδον‘. καὶ ἐν τῇ ‘Υδροχόῳ (fr. 180 Keo.—Th. 2 )· ‘τὸν παῖδα δὲ οὐ δίδομεν ἀλλ’ ἁρπαγήν, ἣν αὐτὸ[ς] κατεσκεύασεν‘. καὶ Ἀριστοφάνης ἐν Νιόβῳ (fr. nov.). ἀσφόδελος καὶ ἀσφοδελὸς κατὰ τὸν ὀξὺν τόνον διαφέρει ⟨παρὰ⟩ τοῖς Ἀττικοῖς· ἄλλοι τε καὶ Τρύφων (fr.

alpha 29 14 Vels.) ἐν τῷ δευτέρῳ Περὶ Ἀττικῆς προσῳδίας· τὸ βαρυτονούμενον γὰρ τὸ φυτὸν παρὰ τοῖς παλαιοῖς, [ὀ]ξυτονούμενον δὲ τὸν τόπον, ἐν ᾧ ὁ ἀσφόδελος γίνεται· αὐτὸς δέ τι ὁ Τρύφων προκρίνει ὁμοτόνως τῷ φυτῷ καὶ τὸν τόπον ἐκφέρειν· πολλάκις ⟨γάρ⟩, φησίν, τοῖς περιεχομένοις τὰ περιέχοντα ὁμοτόνως λέγεται. καὶ σκόροδα γὰρ αὐτὰ λέγομεν καὶ τὸν τόπον ἔνθα συμβέβηκε ταῦτα πιπράσκεσθαι· ὁμοίως κρόκον αὐτὸ τὸ ἄνθος καὶ τὸν τόπο[ν] ἐν ᾧ φύεται. ἀνδραγαθία ἀνδρείας διαφέρει.

alpha 30 ἀνδρεία μὲν γάρ ἐστι δύναμις σώματος ἐπαινουμένη· ἀνδραγαθία δὲ καὶ τὴν ψυχικὴν ἀρετὴν ἔχει μαρτυροῦσαν. ἅμα καὶ ὁμοῦ διαφέρει.

alpha 31 ἅμα μὲν γάρ ἐστι χρονικὸν ἐπίρρημα, ὁμοῦ δὲ τοπικόν. ἅμα μὲν ⟨οὖν Σόλων⟩ ἐγένετο ⟨Ἀναχάρσιδι τῷ⟩ Σκύθῃ, εἴπερ κατὰ τὸν αὐτὸν χρόνον ἤκμασεν, ὁμοῦ μέντοι οὐκέτι· οὐδὲ γὰρ ἐν τῷ αὐτῷ τόπῳ ἐγεννήθησαν, ἀλλ’ ὁ μὲν Ἀθήνησιν, ὁ δὲ ἐν Σκυθίᾳ. καὶ Ὅμηρος δὲ διαστέλλει (Il. iv 450 sq. viii 64 sq.)· ‘ἔνθα δ’ ἅμ’ οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν‘, κατὰ τὸν αὐτὸν χρόνον. καὶ (Il. iii 1) ‘αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ’ ἡγεμόνεσσιν ἕκαστοι‘, καὶ (Il. xxiii 362) ‘οἱ δ’ ἅμα πάντες ἐφ’ ἵπποισι⟨ν⟩ μάστιγας ἄειραν‘ ἐπὶ τόπου δέ (od. xv 365)· ‘τῇ ὁμοῦ ἐτρεφόμην‘, καὶ πάλιν (Od. xii 67) ‘ἀλλά γ’ ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν‘, ἀντὶ τοῦ ἐν τῷ αὐτῷ τόπῳ· ‘οὗ περ δὴ δύο παῖδ’ ἔλαβε κρείων Ἀγαμέμνων ἐν ἑνὶ δίφρῳ ἐόντας, ὁμοῦ δ’ ἴσχον ὠκέας ἵππουσ‘ (Il. xi 126 sq.). ἔσθ’ ὅτε δ’ Ὅμηρος τὸ ὁμοῦ ἐπὶ χρονικοῦ τάσσει ἐπιρρήματος, ὥς φησιν Ἀσκληπιάδης (FHG iii 299)· ‘εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούσ‘ (Il. i 61), εἰ μὴ ἄρα τις εἴπῃ καὶ νῦν τὸ ὁμοῦ ἐν τῷ αὐτῷ τόπῳ, οἷον «ἐν Τροίᾳ ὅ τε πόλεμος καὶ ὁ λοιμὸς δαμάζει τοὺς Ἀχαιούς». αἶνος καὶ παροιμία διαφέρει.

alpha 32 ὁ μὲν γὰρ αἶνός ἐστι λόγος μυθικὸς ἐκφερόμενος ἀπὸ ἀλόγων ζῴων ἢ φυτῶν πρὸς ἀνθρώπων παραίνεσιν, ὥς φησι Λουκίλλιος ὁ Ταρραῖος ἐν τῷ πρώτῳ Περὶ παροιμιῶν (fr. 1 Linn.). οἷον ἀπὸ μὲν ἀλόγων ζῴων ὡς παρ’ Ἀρχιλόχῳ (fr. 174 W.). ‘αἶνός τις ἀνθρώπων ὅδε, ὡς ἆρ’ ἀλώπηξ

καὶετὸς ξυνωνίην ἔθεντο‘, καὶ τὰ ἑξῆς. καὶ πάλιν ὅταν λέγῃ (fr. 185, 1—2 W.) ‘ἐρῶ τιν’ ὑμῖν 〈αἶνον, ὦ〉 Κηρυκίδη, ἀχνυμένη σκυτάλη‘, εἶτα ἐπιφέρει (fr. 185, 3—6 W.) ‘πίθηκος ᾔ〈ει〉 θηρίων ἀποκριθείς μοῦνος ἐν ἐσχατιήν. τῷ δ’ ἆρ’ ἀλώπηξ κερδαλέη συνήντετο πυκνὸν ἔχουσα νόον‘. καὶ Ἡσίοδος (Opp. 202 sqq.)· ‘νῦν δ’ αἶνον βασιλεῦσιν ἐρῶ φρονέουσι καὶ αὐτοῖς· ὧδ’ ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον ὕψι μάλ’ ἐν νεφέεσσιν ἔχων ὀνύχεσ〈σ〉ι μεμαρπώσ‘. ἀπὸ δὲ φυτῶν, ὡς παρὰ Καλλιμάχῳ (fr. 194, 6—8 Pf.)· ‘ἄκουε δὴ τὸν αἶνον. ἔν κοτε Τμώλῳ δάφνην ἐλαίῃ νεῖκος οἱ πάλαι Λυδοί 〈λέγουσι θέσθαι〉‘, καὶ τὰ ἑξῆς. καὶ ἔστιν αἶνος ἐξηπλωμένη παροιμία· παροιμία δὲ τὴν ἀπὸ κεφαλαίου ἐπὶ τὸ χεῖρον ἀναφορὰν ἔχει ἐνδέουσαν τοῦ αἴνου, καί τι ἔξωθεν ἐκδεχομένη, οἷον· «μένε βοῦς ποτε βοτάνη〈ν〉» καὶ «κισσὸς μετὰ Ἀνθεστήρια». ἄρτι καὶ ἀρτίως διαφέρει.

alpha 33 ἄρτι μὲν γάρ ἐστι χρονικὸν ἐπίρρημα, τὸ δὲ ἀρτίως ἐπὶ τοῦ ἀπηρτισμένου τελείου ἔργου, ὥστε ἁμαρτάνειν Σαπφὼ λέγουσαν (fr. 123 L.—P., cf. 123 et 103, 10 Voigt) ‘ἀρτίως ἡ χρ[υσοπέδ]ι[λος] Αὔωσ‘, ἀντὶ χρονικοῦ τοῦ ἄρτι. παρὰ δὲ τοῖς Ἀττικοῖς τὸ μὲν ἀρτίως σημαίνει πα[ρε]στώσης τῆς ὥρας, τὸ δὲ ἄρτι παρατατικὸν 〈καὶ ἐπὶ παρῳχηκότος χρόνου〉. ἆρα καὶ ἄρα διαφέρει.

alpha 34 ὁ μὲν γὰρ κατὰ περισπωμένην λεγόμενος σύνδεσμος ἀπορη〈μα〉τικός ἐστιν, ὅτε διαποροῦντες λέγομεν· «ἆρά γε πῶς ἕξει τὸ πρᾶγμα;». ὁ δὲ κατὰ συστολὴν συλλογιστικός· «〈εἰ ἡμέρα ἐστίν, φῶς ἐστίν〉· ἀλλὰ μὴν ἡμέρα ἐστίν, 〈φῶς ἄρα ἐστίν〉». «εἰ τοῦτο συμφέρει ποιεῖν, ποιητέον ἡμῖν ἄρα ἐστίν». αἴθε καὶ ὤφελον διαφέρει.

alpha 35 τὸ μὲν γάρ ἐστιν ἀπαρέμφατον πρόσωπον· τὸ δὲ ὤφελον ἐμφαίνει πρόσωπα, οἷον· ὤφελον ἐγώ, ὤφελον σύ, ὤφελον ἐκεῖνος. ἄλλως τε τὸ μὲν αἴθε ἐστὶν ἐπίρρημα, τὸ δὲ ὤφελον ῥῆμα καὶ ἐπίρρημα. ἆθλος ἀρσενικῶς καὶ ἆθλον οὐδετέρως διαφέρει.

alpha 36 ἀρσενικῶς μὲν γὰρ τὸν ἀγῶνα δηλοῖ, οὐδετέρως δὲ τὸ ἔπαθλον· Ὅμ[ηρ]ος ‘ο[ὗτο]ς μὲν δὴ ἄεθλος ἀάατος ἐκτε〈τέ〉λεσται‘ (Od. xxii 5), ἐπὶ δὲ τῶν ἐπάθλων· ‘ἀέθλια ἐπαγαγόντεσ‘ (Il. xxii 736). ἀρχὴ τοῦ β βωμὸς καὶ ἑστία καὶ ἐσχάρα καὶ μέγαρον διαφέρει, καθὰ καὶ Ἀμμώνιος ὁ Λα〈μπ〉τρεὺ[ς] (FGrH 361 f 1 a) ἐν τῷ πρώτῳ Περὶ θυσιῶν φησιν· ‘βωμοὶ μὲν οἱ προ〈σ〉βάσεις ἔχοντες, ἐσχάρα δὲ ἡ πρὸς βιωτικὴν γινομένη χρῆσιν ἐπὶ γῆς· τὰ δὲ πολυτελῆ ἑστία〈ι〉· τὸ δὲ μέγαρον ἡ περιῳκοδομημένη ἑστία 〈 〉 σημαίνει τὸν οἶκον· ‘ἑστίην τ’ Ὀδυσσῆος ἀμύμονος, ἣν ἀφικάνων‘ (Hom.

beta 37 Od. xiv 159 xvii 156 xix 304 xx 231), καὶ ἀνέστιος ὁ ἄοικος. παρ’ Ἡσιόδῳ (Theog. 454) καὶ ἡ σωματοειδὴς θεὸς ‘Ἑστίην καὶ Δήμητρα καὶ Ἥρην χρυσοπέδιλον‘. ὡς δὲ Νεάνθης ὁ Κυζικηνὸς (FGrH 84 f 7) ἐν τρίτῳ τῶν Κατὰ πόλιν βωμούς φησι θεῶν, ἐσχάρας δ’ ἡρώων. παρὰ δ’ Εὐριπίδῃ (fr. 628 n. 2 ) ἐσχάρα ἀντὶ τοῦ βωμοῦ κεῖται ἐν Πλεισθένει· ‘μηλοσφαγῆτε δαιμόνων ἐπ’ ἐσχάραισ‘. καὶ Σοφοκλῆς (fr. 730 Radt) ἐν Χρύσῃ. βασιλεὺς καὶ κοίρανος διαφέρει.

beta 38 βασιλεὺς μὲν γάρ ἐστιν ὁ πατρόθεν ἢ ἐκ γένους τὴν ἀρχὴν παραλαβών, κοίρανος δὲ ὁ πρὸς καιρὸν 〈τὸ〉 τοῦ βασιλέως ἔργον ἐπιτελῶν, οἷος ἦν πρὸ τῆς μήνιδος ὁ Ἀχιλλεύς· ‘ὣς ὅ γε κοιρανέων δίεπε στρατόν‘ (Hom. Il. ii 207). ἡγεμὼν δέ ἐστιν ὁ τάξεως στρατιωτικῆς ἡγούμενος, ὥς φησιν Ὅμηρος (Il. iii 1)· ‘αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ’ ἡγεμόνεσσιν ἕκαστοι‘. βούλει καὶ βούλῃ διαφέρει.

beta 39 ὅτι τὸ μὲν βούλει ὁριστικῶς λέγουσιν, οἷον «βούλει χολάσαι με», τὸ 〈δὲ〉 βούλῃ διστακτικῶς νοοῦσιν· «ἐὰν βούλῃ, πορευόμεθα». βουλῇ δὲ περισπωμένως τὴν γνώμην σημαίνει. ἀρχὴ τοῦ γ γαμήλιον καὶ 〈ἐπι〉θαλάμιον διαφέρει.

gamma 40 ἐπιθαλάμιον γάρ ἐστι τὸ ἐπὶ θαλάμῳ τῆς γαμουμένης γραφὲν ποίημα· γαμήλιον δὲ ὃ οὐ περιώρισται χρόνῳ. γαμήλια καὶ γαμηλία διαφέρει.

gamma 41

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γαμήλια τὰ τελούμενα ἐν τῇ ἡμέρᾳ καθ’ ἣν ὁ γάμος ἐκτελεῖται, ἢ τὰ δῶρα τὰ διδόμενα ἐν γάμῳ. γαμηλία δὲ ἡ εἰς τοὺς φράτορας διδομένη ἐγγραφὴ καὶ εἰσαγωγὴ ἐπὶ γάμοις, ἣν ὠνόμαζον καὶ κουρεῶτιν. οἱ δέ φασι γαμηλίαν θυσίαν, ἣν ἔθυον τοῖς δημόταις οἱ εἰς τοὺς ἐφήβους ἐγγραφόμενοι καὶ μέλλοντες γαμεῖν. ἐγίνετο δὲ ἡ θυσία Ἥρᾳ καὶ Ἀφροδίτῃ καὶ Χάρισι γαμηλίαις· ἢ θυσία τοῖς τῷ δήμῳ θεοῖς. γέρων καὶ πρεσβύτης καὶ προβεβηκὼς διαφέρει.

gamma 42 Ἀλεξίων (fr. 1 Berndt) ἐν τῇ ἐπιτομῇ τῶν Διδύμου (p. 378 Schmidt) Συμμίκτων φησὶν οὕτως· ‘ἐκ τῶν Ἀριστοφάνους (frr. 37—66 Sl.) Περὶ ἀνθρώπου γενέσεως καὶ αὐξήσεως μέχρι γήρως. βρέφος μὲν γὰρ τὸ γεννηθὲν ἀρτίως, παιδίον δὲ τὸ τρεφόμενον ὑπὸ τῆς τιθηνοῦ, παιδάριον δὲ τὸ ἤδη περιπατοῦν καὶ τῆς λέξεως ἀντεχόμενον, παιδίσκος δὲ ὁ ἐν τῇ ἐχομένῃ ἡλικίᾳ, παῖς δὲ ὁ διὰ τῶν ἐγκυκλίων μαθημάτων δυνάμενος ἰέναι. τὴν δὲ ἐχομένην ταύτης ἡλικίαν οἱ μὲν πάλληκα, οἱ δὲ βούπαιδα, οἱ δὲ ἀντίπαιδα, οἱ δὲ μελλέφηβον καλοῦσιν. ὁ δὲ μετὰ ταῦτα ἔφηβος· ἐν δὲ Κυρήνῃ τοὺς ἐφήβους τρι ⟨α⟩ κατίους καλοῦσιν, ἐν δὲ Κρήτῃ ἀποδρόμους διὰ τὸ μηδέπω τῶν κοινῶν δρόμων μετέχειν· Ἀχαιοὶ ⟨δὲ⟩ κούρους, καὶ ἀρεσδαῖες ἀγούρους, ὡσαύτως καὶ Ἀττικοί. ὁ δὲ μετὰ ταῦτα μειράκιον ἢ μεῖραξ, εἶτα νεανίσκος καὶ νεανίας, εἶτα ἀνὴρ μέσος, εἶτα προβεβηκώς—ὃν καὶ ὠμογέροντα καλοῦσιν—, εἶτα γέρων, εἶτα πρεσβύτης, εἶτα ἐσχατόγηρωσ‘. γράμμα στοιχείου διαφέρει.

gamma 43 στοιχεῖον μὲν γάρ ἐστιν αὐτὴ ἡ ἐκφώνησις καὶ ὁ φθόγγος, οὗ τὸ γράμμα σημεῖον ἢ τύπος ἢ σχῆμα· ὡς ἐν τῷ «τρίγωνον τυποῦσθαι τὸ Δ· τρίγραμμον εἶναι τὸ Δ· στρογγύλον δὲ τυποῦσθαι τὸ Ο». τὸ δὲ στοιχεῖον τὸ ὁλόκληρον, οἷον α β γ καὶ τὰ λοιπὰ στοιχεῖα. λέγεται μέντοι καταχρηστικῶς καὶ τὰ στοιχεῖα γράμματα. ἤδη μέντοι καὶ τὰ συγγράμματα οἱ παλαιοὶ ἔλεγον γράμματα· ⟨ ⟩ καὶ πάλιν (Callim. epigr. 23, 3—4 Pf.)· ‘ἀλλὰ Πλάτωνος ἓν τὸ περὶ ψυχῆς γράμμ’ ἀναλεξάμενοσ‘. καὶ ἐν τῇ συνηθείᾳ φαμέν· «πολλὰ οἶδε γράμματα». οὐ γὰρ τῶν εἴκοσι τεσσάρων, ἀλλὰ πολλῶν γραμμάτων ἔμπειρός ἐστιν. ταύτῃ καὶ γραμματικὸς ὁ πολλῶν ἔμπειρος λόγος. ἀρχὴ τοῦ δ δίσκος καὶ σόλος διαφέρει.

delta 44 δίσκος μὲν γάρ ἐστι λίθος τετρημένος, φησὶ Τρύφων (fr. 105 Vels.) ἐν πέμπτῳ Περὶ Ἑλληνισμοῦ· σόλος δὲ χαλκοῦν ὁλοσφύρωτον, ὡς καὶ Ὅμηρος ‘σόλον αὐτοχόωνον‘ (Il. xxiii 826), καὶ ἀλλαχοῦ (Od. viii 186) ‘λάβε δίσκον‘, [εἶ]τα ἐπιφέρει (Od. viii 190) ‘βόμβησε ⟨ν⟩ δὲ λίθοσ‘. καὶ Πίνδαρος (Isthm. 1, 25)· ‘λιθίνοις ὁπόταν δίσκοισι‘. δικαστὴς καὶ διαιτητὴς διαφέρει.

delta 45 δικαστὴς μὲν ὁ κατὰ νόμον αἱρεθεὶς κριτής, διαιτητὴς δὲ ὁ κατὰ σύμφωνον αἱρεθεὶς συμβάσεως χάριν. Μένανδρος (fr. 316 Keo.—Th. 2 ) ἐν Παιδ ⟨ίῳ⟩ · ‘εἴ τις δικαστὴς ἢ διαιτητὴς θεῶν‘. διέφθαρται καὶ διέφθορε διαφέρει.

delta 46 διέφθαρται μὲν ὑφ’ ἑτέρων, διέφθορε δὲ ἕτερον. Ἀριστοφάνης (fr. 568 K.) ἐν Ὥραις· ‘διέφθορας τὸν ὅρκον ἡμῶν‘. Μένανδρος ἐν ⟨Ἀ⟩ δελφοῖς (fr. 5 Keo.—Th. 2 )· ‘εἰ δ’ ἔστιν οὗτος τὴν κόρην διεφθορώσ‘. Ὅμηρος (Il. xv 128) ‘φρένας ἠλέ, διέφθορασ‘, ἀντὶ τοῦ διέφθαρκας ἑαυτοῦ τὰς φρένας. δυσπειθὴς ἀπειθοῦς διαφέρει.

delta 47 ὁ μὲν γὰρ δυσκόλως παραδέχεται τὸν πιστικὸν λόγον, ὁ δὲ ἀπειθὴς ἀποκρούεται καὶ οὐχ οἷός τέ ἐστι πείθεσθαι. ‘ Δημήτηρ καὶ Δάματερ διαφέρει παρὰ Ἀττικοῖσ‘, φησὶ Τρύφων (fr.

delta 48 107 Vels.). ‘Δημήτηρ γὰρ ἐπὶ τῆς θεοῦ, Δάματερ δὲ ἐπὶ θαυμασμοῦ‘. δοῦλοι καὶ οἰκέται καὶ θεράποντες διαφέρουσι παρὰ τοῖς ἀρχαίοις.

delta 49 δοῦλοι μὲν γὰρ τῶν ἡδονῶν λέγονται καὶ πάντες οἱ τεταγμένοι ὑπὸ βασιλέως, οἰκέται δὲ δεσποτῶν, θεράποντες δὲ οἱ ὑποτεταγμένοι φίλοι, ὑφ’ ὧν θεραπεύονται οἱ προσήκοντες. διαβόητος καὶ ἐπιβόητος διαφέρει.

delta 50

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διαβόητος μὲν γὰρ ὁ ἐπ’ ἀρετῇ ἐπεγνωσμένος· ἐπιβόητος δὲ ὁ μοχθηρὰν ἔχων φήμην. Ἀνακρέων (pmg 354) ἐν δευτέρῳ· ‘καὶ μ’ ἐπιβόητον κατὰ γεί〈τονας ποιήσεισ〉‘. τοῦτον ἔνιοι τῶν ποιητῶν ἐπίφατον καλοῦσι καὶ ἐπίρρητον. διπλοῦν καὶ διπλάσιον, φησίν, διαφέρει.

delta 51 διπλοῦν μὲν γὰρ τῶν κατὰ μέγεθος, διπλάσιον δὲ τῶν κατὰ ἀριθμόν, οἷον «διπλάσια χρήματα». ἐπὶ τῶν διπλουμένων τὸ διπλοῦν, ὥσπερ ἐπὶ τῶν πτυσσομένων ἱματίων· «διπλοῦν οὖν τὸ ἱμάτιον», οὐκέτι «διπλάσιον». διπλάσιον γὰρ ἐπὶ τῶν ἄλλων τῶν κατὰ μέγεθος ἢ πλῆθος διαφερόντων ἢ διάστημα, οἷον «διπλάσιον οὗτος ἔχει τούτου» καὶ «διπλάσιον ἀφέστηκεν ἥδε ἡ πόλις τῆσδε», οὐχὶ «διπλοῦν». διχότομος βαρυτόνως ὡς ἀντίτυπος καὶ διχοτόμος παροξυτόνως ὡς οἰκοδόμος διαφέρει.

delta 52 τὸ μὲν γάρ ἐστι παθητικόν, τὸ δὲ ἐνεργητικόν· ἂν μὲν γὰρ βαρυτονήσωμεν, δηλοῖ τὰ εἰς δύο διῃρημένα· ἂν δὲ 〈παρ〉οξυτονήσωμεν, τὰ εἰς δύο διαιροῦντα. δοάσατο καὶ δοιάσατο διαφέρει, ὅτι τὸ μὲν δοάσατο ἔδοξε, τὸ δὲ δοιάσατο σὺν τῷ ι ἐδίστασεν.

epsilon 1 ἀρχὴ τοῦ ε ἐλεάτρος καὶ ἐδέατ〈ρ〉ος διαφέρει.

epsilon 54 ἐλέατρος μὲν γάρ ἐστιν ὁ μάγειρος παρὰ τοὺς ἐλεούς—ἐλεοί εἰσιν αἱ μαγειρικαὶ τράπεζαι—. ἐδέατρος δὲ ὁ προγεύ〈σ〉της παρὰ τὰ ἐδέσματα. ἐπίτιμος καὶ ἐπιτίμιος διαφέρει.

epsilon 55 ἐπίτιμος μὲν γὰρ ὁ ἔντιμος, ἐπιτίμιος δὲ ὁ ἐπιζήμιος καὶ ἐπίπληκτος· ἀφ’ οὗ τὴν ἐπίπληξιν ἐπιτίμησίν φαμεν καὶ ‘ἐπιτίμησον αὐτῷ‘ (Luc. 17, 3) ἀντὶ τοῦ ἐπίπληξον. ἔνδοξος καὶ ἐπίδοξος διαφέρει.

epsilon 56 ὁ μὲν γάρ ἐστιν 〈ὁ〉 ἐπίσημος, ἐπίδοξος δὲ ὁ προσδοκώμενος. ἑταῖρος καὶ φίλος διαφέρει.

epsilon 57 ὁ μὲν γὰρ φίλος καὶ ἑταῖρος, ὁ δὲ ἑταῖρος οὐ πάντη φίλος. ἔστι γὰρ ὁ ἑταῖρος καὶ συνεργός. διὸ καὶ Ὅμηρος ἐπὶ τοῦ ἀνέμου (Od. xi 7 xii 149) ‘πλησί〈στι〉ον ἐσθλὸν ἑταῖρον‘. ἔκγονος καὶ ἀπόγονος, φασίν, διαφέρει πρόδηλον.

epsilon 58 ἔκγονος μὲν γὰρ ὁ υἱός, ἀπόγονος δὲ ἤτοι υἱωνὸς ἢ ἔτι ἄπωθεν. καταχρῶνται δ’ ἔσθ’ ὅτε οἱ ῥητορικοὶ τῷ ἀπογόνῳ ἀντὶ τοῦ υἱοῦ. ἕλκος , ὠτειλή, τραῦμα, πληγὴ διαφέρει.

epsilon 59 ἕλκος μὲν γὰρ τὸ χρόνιον πάθος μόνον ἐκ σιδήρου γενόμενον· ἔσθ’ ὅτε δὲ καὶ ἐκ τοῦ αὐτομάτου· εἴρηται δὲ παρὰ τὸ διελκοῦσθαι τὴν σάρ[κ]α. ὠτειλὴ δέ ἐστιν ἡ ἐκ τοῦ σύνεγγυς σιδήρου πληγή· τραῦμα δὲ τρῶσις σιδήρου γινομένη ἐφ’ ὑγιοῦ〈σ〉 σώματος· πληγὴ δὲ ἡ ἐκ χειρὸς πλῆξις. ἐπίκουροι καὶ βοηθοὶ διαφέρει.

epsilon 60 ἐπίκουροι μὲν γάρ εἰσιν οἱ τοῖς πολεμουμένοις ἐπικο〈υ〉ροῦντες καὶ συλλαμβανόμενοι, βοηθοὶ δὲ καὶ σύμμαχοι τῶν πολεμούντων. Ὅμηρος δι’ ὅλης τῆς ποιήσεως ἐφύλαξε τὴν διαφοράν· ἐπίκουροι γάρ εἰσι τοῖς Τρωσὶ πολεμουμένοις· βοηθοὶ καὶ σύμμαχοι τοῖς Ἕλλησιν· οὐκ ἔστιν οὖν 〈παρ’〉 αὐτῷ ἐπίκουρον Ἑλλήνων λεγόμενον εὑρεῖν, ἀλλὰ Τρώων. ἕρκος καὶ ἑρκίον διαφέρει.

epsilon 61 ἕρκος ἐπὶ πόλεων, ἑρκίον ἐπὶ ἐπαύλων. ἑτερόφθαλμος καὶ μονόφθαλμος διαφέρει.

epsilon 62 ἑτερόφθαλμος μὲν 〈ὁ〉 κατὰ περίπτωσιν πηρωθεὶς τὸν ἕτερον τῶν ὀφθαλμῶν, μονόφθαλμος δὲ ὁ μόνον ὀφθαλμὸν ἐσχηκώς, ὡς 〈ὁ〉 Κύκλωψ. ἐοικότα εἰκότων διαφέρει.

epsilon 63 τὰ μὲν γὰρ πίστεως ἐχόμενα εἰκότα, τὰ δὲ ἐμφερῆ ἐοικότα. εὐφυὴς καὶ εὐμαθὴς διαφέρει παρὰ Ἀττικοῖς· εὐφυῆ μὲν γὰρ λέγουσι τὸν σκωπτικόν, εὐμαθῆ δὲ τὸν πρὸς μάθησιν εὖ πεφυκότα.

epsilon 65 ἐξανέψιοι καὶ ἀνεψιοὶ διαφέρει. καὶ ὅτι βαρυτόνως Ἀττικ[οὶ] προφέρονται τοὔνομα φησὶ Τρύφων (fr. 8 Vels.) ἐν τῷ δευτέρῳ Περὶ Ἀττικῆς προσῳδίας· ‘ἐξανέψιοι ὡς ἀμέριμνοι, ἀναστελλομένης—φησίν—τῆς ὀξείας ἐκ τοῦ ἀνεψιοῦ ὀνόματος ὀξυτονουμένου‘. ἐχθρὸς πολεμίου καὶ δυσμενοῦς διαφέρει.

epsilon 66

ἐχθρὸς μὲν γὰρ ὁ πρότερον φίλος, πολέμιος δὲ ὁ δι᾽ ὅπλων χωρῶν πρὸς τοὺς πέλας, δυσμενὴς δὲ ὁ χρόνιον πρὸς τόν ποτε φίλον ἔχθραν διατηρῶν καὶ δυσδιαλλάκτως ἔχων. ἐξελεύθερος καὶ ἀπελεύθερος διαφέρει.

epsilon 67 ἐξελευθέρους μὲν γὰρ λέγουσι τοὺς διὰ χρέος προσθέτους τοῖς δανεισταῖς γενομένους, ἔπειτα ἀπολυθέντας, εἶτα ἐλευθερωθέντας· ἀπελευθέρους δὲ συνήθως τοὺς ἐκ δούλ[ου] ἐλευθερωμένους, ὥς φησι Τρύφων (fr. om. Vels.) ἐν πέμπτῳ Περὶ Ἑλληνισμοῦ. ἐπικήδειον καὶ θρῆνος διαφέρει.

epsilon 68 ἐπικήδειον μὲν γάρ ἐστι 〈τὸ〉 ἐπὶ τῷ κήδει, θρῆνος δὲ τὸ ἐν οἱῳδήποτε χρόνῳ, ὣς Τρύφων (fr. 114 Vels.). Ἀριστοκλῆς δὲ ὁ Ῥόδιος ἐν τῷ Περὶ ποιητικῆς ἔμπαλίν φησιν· ‘θρῆνος δέ ἐστιν ᾠδὴ τῆς συμφορᾶς οἰκεῖον 〈ὄνομα〉 ἔχουσα· ὀδυρμὸν γὰρ ἔχει σὺν ἐγκωμίῳ τοῦ τελευτήσαντος. τινὲς μὲν οὖν κοινῶς εἶπον θρήνους, οἱ δὲ διαφέρειν θρῆνόν τε καὶ ἐπικήδειον· τὸν γὰρ θρῆνον ᾄδεσθαι παρ᾽ αὐτῇ τῇ συμφορᾷ πρὸ τῆς ταφῆς καὶ μετὰ τὴν ταφὴν καὶ κατὰ τὸν ἐνιαύσιον χρόνον τῆς κηδείας, ᾀδόμενον ὑπὸ τῶν θεραπαινίδων καὶ τῶν σὺν αὐταῖς, τὸ δὲ ἐπικήδειον ἔπαινον εἶναι τοῦ τελευτήσαντος μετά τινος μετρίου σχετλιασμοῦ‘. ἐμεῖο καὶ ἐμοῖο 〈 〉 σύναρθρον τοῦ ἐμοῦ, οἷον «παῖδα ἐμεῖο», «τοῦ ἐμοῦ παιδός».

epsilon 69 καὶ (Hom. Il. xxiv 486) ‘μνῆσαι πατρὸς σοῖο‘ ἀντὶ «τοῦ σοῦ πατρός». ἐρωτᾶν καὶ πυνθάνεσθαι διαφέρει.

epsilon 70 πυνθάνεσθαι μὲν γάρ ἐστι τὸ κατὰ ἀκοὴν διεξοδικῶς ἀκούειν τὰ ὑπό τινος λεγόμενα, αὐτὸν οὐδὲν ἐρωτῶντα· ἐρωτᾶν δὲ τὸ θέλειν κεφαλαιώδη τινὰ λαβεῖν ἀπόφασιν περὶ τοῦ ὑποκειμένου πράγματος. ὁ γοῦν Τηλέμαχός φησι πρὸς Νέστορα (Hom. Od. iii 80) ‘εἴρεαι ὁππόθεν εἰμέν· ἐγὼ δέ κέ τοι καταλέξω‘, καὶ Ἀχιλλεύς φησιν (Il. xi 611) ‘ἀλλ᾽ ἴθι νῦν, Πάτροκλε Διὶ φίλε, Νέστορ᾽ ἔρηαι‘. ὅτι δὲ τὸ πυνθάνεσθαι ἐπὶ ψιλοῦ τοῦ ἀκούειν τῶν λεγόντων τάσσεται, φανερὸν ἐκ τοῦ λέγειν Τηλέμαχον (Od. ii 314) ‘νῦν δ᾽ ὅτε 〈δὴ〉 μέγας εἰμὶ καὶ ἄλλων μῦθον ἀκούων πυνθάνομαι‘. καὶ Ὀδυσσεύς φησιν (Od. xiii 256) ‘πυνθανόμην Ἰθάκησ‘. κατὰ δὲ τοὺς φιλοσόφους ἐρώτησίς ἐστι φράσις συμβολικὴν ἀπόκρισιν ζητοῦσα, οἷον· «ναί, οὔ, ἀμφίβολον, σαφές, ἄδηλον»· αὗται γὰρ αἱ πέντε ἀποφάσεις συμβολικαὶ καλοῦνται. ἔστι μέντοι γε ὅτε οὐχ οὕτως, ἀλλ᾽ ἑτέρως ἀποκρινόμεθα πρὸς τὰς ἐρωτήσεις, οἷον· «ἡμέρα ἐστίν;» καὶ οὕτως· φήσομεν γάρ· «ἡμέρα ἐστίν», «ἡμέρα», «ἔστιν». πεῦσις δέ ἐστι λέξις πρὸς ἣν οὐκ ἔστι συμβολικῶς ἀποκρίνασθαι, οἷον· «ποῦ οἰκεῖ Ἀρίστων;» φήσεις γάρ· «ἐν τῷδε τῷ τόπῳ»· (Hom. Il. vi 377) ‘πῇ ἔβη Ἀνδρομάχη;‘ ἡ δὲ ἀποκρίνεται ὅτι (Il. vi 386) ‘ἐπὶ πύργον ἔβη μέγα[ν] Ἰλίου‘. οὐκ ἦν γὰρ ἐνταῦθα συμβολικῶς «ναί» ἢ «οὔ». κατά τι οὖν περὶ τῆς διαφορᾶς ταύτης διαφέρονται οἱ φιλόσοφοι σύμφωνον τοῖς προειρημένοις· πυνθανόμενοι περὶ τῆς διαφορᾶς φασιν· ‘ ἐρώτησις πεύσεως καὶ ἀνακρίσεως διαφέρει.

epsilon 71 ἐρώτησις μὲν γάρ ἐστι σύντομος ἀπόκρισις, πεῦσις δὲ μακρᾶς πράξεως ἀπαγγελία, ἀνάκρισις δὲ δευτέρων ἐξέτασισ‘. ἔσται το〈ῦ〉 γενήσεται διαφέρει.

epsilon 72 ἔσται μὲν γὰρ καὶ τὰ νῦν ὄντα, γενήσεται δὲ τὰ γενέσεως τευξόμενα, οἷον «νέος πρεσβύτης ἔσται, τῷ ἀτέκνῳ παῖδες γενήσονται». εὑρεῖν καὶ εὕρασθαι διαφέρει.

epsilon 73 εὑρεῖν μὲν γὰρ καὶ ἐν τῇ συνηθείᾳ, εὕρασθαι δὲ οἷον πορίσασθαι. Μένανδρος ἐν Δυσκόλῳ (489)· ‘εὕρηκ᾽ ἐγὼ τού〈του〉 τέχνην‘. Δίφιλος (fr. 68 K. = iv 408 M.) ἐν Πύρρᾳ· ‘δῶρον δ᾽ ἐμαυτὴν πὰρ θεῶν εὑρημένην‘. ἐρᾶν τοῦ ποθεῖν διαφέρει.

epsilon 74 ἐρᾶν μέν ἐστι τῶν ἐν ὄψει, ποθεῖν δὲ τὰ ἀπόντα. διαστέλλει δὲ καὶ Ὅμηρος (Il. xiv 328)· ‘ὡς σέο νῦν ἔραμαι, καί με γλυκὺς ἵμερος αἱρεῖ‘, πρὸς τὴν Ἥραν ὁ Ζεύς φησι παροῦσαν. ἐπὶ δὲ τοῦ ἀπόντος (Od. xi 202) ‘ἀλλά με σός τε πόθος σά τε μήδεα‘. φυλάσσεται ἄκρως Ὅμηρος τὰς τοιαύτας διαφοράς. εὔμορφος εὐειδοῦς διαφέρει.

epsilon 75 εὔμορφος μὲν γάρ ἐστιν ὁ τὴν μορφὴν εὖ ἔχων, οἷον εὐπρόσωπος· καὶ γὰρ τὸ τὴν ὄψιν πως σχηματίζειν 〈μορφάζειν〉 λέγομεν. εὐειδὴς δὲ ὁ τὸ εἶδος καλὸν ἔχων, οἷον ἅπαν τὸ σῶμα. ἔνδον πρὸς τὸ ἔσω διαφέρει.

epsilon 76 ἔνδον μὲν γὰρ τὸ ἐν τόποις, ἔσω δὲ τὸ εἰς τόπον. ἔνδον μὲν γάρ ἐστιν ὁ παῖς, ἔσω δὲ εἰσέρχομαι. ἁμαρτάνει γοῦν ὁ λέγων «ἔνδον εἰσέρχομαι» ἢ «ἔσω ἐστὶν ὁ παῖς». Σοφοκλῆς τὴν δια[φο]ρὰν συγχεῖ· φησὶ γοῦν ἐν Τραχιν〈ί〉αις (202 sq.) ‘γυναῖκες, αἵ τ’ ἔσω στέγης αἵ τ’ ἐκτόσ‘, δέον εἰπεῖν «γυναῖκες, αἵ τ’ ἔνδον στέγης». καὶ Εὐριπίδης ἐν Ἡρακλεῖ (cf. Heraclid. 584) ‘γέροντα τὴν δ’ ἔσω γραῖαν δόμων‘ ἀντὶ τοῦ ἔνδον. καὶ Εὔβουλος ὁ τῆς μέσης κωμῳδίας ποιητὴς Καλαθηφόροις (fr. 40 K. = iii 224 M.) ‘ὅπως δὲ πε〈ύ〉σεσθ’· ἔστι τις γέρων ἔσω;‘ δέον εἰπεῖν «ἔνδον». ἐνταυθοὶ καὶ ἐνταῦθα καὶ ἐνθάδε διαφέρει.

epsilon 77 ἐνταυθοῖ μὲν γὰρ τὴν ἐν τόπῳ σημασίαν [δηλοῖ], ἐνταῦθα δὲ καὶ τὴν ἐν τόπῳ καὶ εἰς τόπον· ὁμοίως καὶ τὸ ἐνθάδε. τὸ δὲ ἔνθα καὶ τὴν ἐν τόπῳ καὶ τὴν εἰς τόπον καὶ ἀντὶ χρονικοῦ ἐπιρρήματος τοῦ τότε. ἐπὶ μὲν τοῦ ἐνταυθοῖ Ὅμηρος (Od. xviii 105) ‘ἐνταυθοῖ νῦν ἧσο σύας τε κύνας τ’ ἀπερύκων‘, ἐπὶ δὲ τοῦ ἐνταῦθα Σοφοκλῆς ἐν Ἠλέκτρᾳ (380 sq.) ‘ἐνταῦθα πέμψειν ἔνθα μήποθ’ ἡλίου φέγγος κατόψει‘. ἔχει γὰρ καὶ τὴν εἰς τόπον σημασίαν καὶ τὴν ἐν τόπῳ. ὁμοίως δὲ καὶ ἐφ’ οὗ φησιν ἡ Καλυψώ (Hom. Od. v 208) ‘ἐνθάδε κ’ αὖθι μένων 〈σὺν ἐμοὶ〉 τόδε δῶμα φυλάσσοισ‘. καὶ ὁ Ἕκτωρ φησίν (Il. xvi 836)· ‘σὲ δέ τ’ ἐνθάδε γῦπες ἔδονται‘. ταῦτα γὰρ τὴν ἐν τόπῳ σημασίαν δηλοῖ. τὴν δ’ εἰς τόπον ‘τοῦδ’ αὐτοῦ λυκάβαντος ἐλεύσετ[αι] ἐνθάδ’ Ὀδυσσεύσ‘ (Od. xiv 161). ἐπὶ δὲ τοῦ ἔνθα· ἐν μὲν τόπῳ (cf. Od. iii 109) ‘Αἴας κεῖται ἀρήϊος ἔνθ’ Ἀχιλλεύσ‘, εἰς δὲ τόπον (Od. ix 142) 〈‘ἔνθα κατεπλέομεν, καί τις θεὸς ἡγεμόνευεν‘, ἀντὶ χρονικοῦ δ’ ἐπιρρήματος τοῦ τότε〉 (Il. v 1) ‘ἔνθ’ α〈ὖ〉 Τυδεΐδῃ Διομήδει Παλλὰς Ἀθήνη‘. ἔνθα σημαίνει γ’· τὸ τότε, ὡς τὸ (Il.

epsilon 78 i 22) ‘ἔνθ’ ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοί‘· τὸ ὅπου, ὡς τὸ (Od. ix 142) ‘ἔνθα κατεπλέομεν, καί τις θεὸς ἡγεμόνευεν‘. τὸ ἐν τούτῳ ἢ ἐκείνῳ τόπῳ, ὡς τὸ (Od. iii 109 sq.) ‘ἔνθα μὲν Αἴας κεῖται 〈ἀρήϊοσ〉, ἔνθα δ’ Ἀχιλλεύς, ἔνθα δὲ Πάτροκλοσ‘. ἐξ ὅσου, ἐξ ὅτου· ἐξ ὅσου μὲν χρόνου, ἐξ ὅτου δὲ ἐξ οὕτινος.

epsilon 80 ἐπιστρεφὴς εὐστραφοῦς διαφέρει. ἐπιστρεφὴς μὲν γὰρ ὁ ἐπιμελής, εὐστραφὴς δὲ ὁ ἐπιδέξιος ἐν ταῖς μεταβολαῖς. εὐθύς , εὐθὺ καὶ εὐθέως διαφέρει.

epsilon 81 εὐθὺς μὲν γάρ ἐστιν ὁ κανών· εὐθὺ δὲ το〈ῦ〉 γυμνασίου, ἀντὶ τοῦ κατ’ εὐθεῖαν τοῦ γυμνασίου ἢ εὐθεῖ τῷ κανόνι· τὸ δὲ εὐθέως ἀντὶ χρονικοῦ ἐπιρρήματος. ὁ οὖν ἐναλλάσσων ἁμαρτάνει, καθὰ καὶ Μένανδρος ἐν Δυσκόλῳ (50.52) ‘τί φῄς; ἰδὼν ἐνταῦθα παῖδ’ ἐλευθέραν ἐρῶν ἀπῆλθες 〈εὐθύσ〉;‘ καὶ Ἀριστοφάνης ὁ γραμματικὸς (fr. 369 Sl.) ἐν τῷ Πρὸς τοὺς Πίνακας Καλλιμάχου (fr. om. Pf.) Περὶ Ἀντιφάνους διαστέλλει τὴν λέξιν. τινὰς μέντοι φησὶ τῶν ἀρχαίων καὶ τὸ εὐθὺς ἀντὶ χρονικοῦ κεχρῆσθαι. φησὶ γοῦν κατὰ λέξιν· ‘δεῖ δὲ τὸ μὲν εὐθὺ λέγειν ἐπί τινος εὐθέος, οἷον, ἐὰν μὲν ᾖ θῆλυ τὸ ὄνομα, «εὐθεῖα ἡ βακτηρία», ἐὰν δὲ ἄρσεν, «εὐθὺς ὁ κανών», ἐὰν δὲ τὸ οὐδέτερον καλούμενον, «εὐθὺ τὸ ξύλον». οἱ δὲ ἀρχαῖοι ἐνίοτε τὸ εὐθὺ ἐτίθεσαν καὶ ἐπὶ ὁδοῦ τῆς οὔσης ἐπί τινα τόπον, αὐτοῦ· 〈 〉. τὸ δὲ κατὰ 〈 〉 (com. fr. adesp. 582 K. = iv 601 M.) ‘εὐθὺς ἔσομ’ ἐλεύθεροσ‘ καὶ (com. fr. adesp. 583 K. = iv 601 M.) ‘ὡς τοῦτ’ εἶδεν, εὐθὺς ἤγετ’ ἄνω κάτω‘. ἐνθύμημα καὶ ἐνθύμιο[ν] διαφέρει.

epsilon 82 τὸ μὲν γὰρ ἐνθύμημα ποιὸν λόγου σχῆμα, τὸ δ’ ἐνθύμιον παρὰ τοῖς ἀρχαίοις ἐτίθετο ἀντὶ τοῦ προστροπαίου· ὁ γοῦν Ἀντιφῶν (fr. 2 γ 10 Bl.—Th.) ἐν τοῖς Φονικοῖς φησι ‘τεθνεὼς οὗτος ἡμῖν ἐνθύμιον γενήσεται‘. ἀρχὴ τοῦ ζ ζῆλος καὶ ζηλοτυπία διαφέρει.

zeta 83

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ζηλοτυπία μὲν γάρ ἐστι τὸ ἐν μίσει ὑπάρχον· ζῆλος δὲ ἡ μίμησις τοῦ καλοῦ· ‘ζηλοῖ δέ τε γείτονα γείτων‘, (Hes. Opp. 23). ζηλοτυπεῖ δὲ ἡ Ἥρα τὸν Ἡρακλέα καὶ τὴν Σελήνην καὶ τὴν Σεμέλην. ζώνη καὶ ζώνιον διαφέρει.

zeta 84 ζώνη μὲν ἡ τοῦ ἀνδρός, ζώνιον δὲ τὸ τῆς γυναικός. ἀρχὴ τοῦ η ἡσυχάζειν καὶ σιγᾶν, φησίν, διαφέρει.

eta 85 ἡσυχάζειν μὲν γάρ ἐστι τὸ ἀτρεμεῖν δι’ ὅλου τοῦ σώματος, σιγᾶν δὲ τὸ μὴ λαλεῖν. ἡμέρα ἠοῦς διαφέρει.

eta 86 ἡμέρα μὲν γάρ ἐστι τὸ ἀσώματον, ἣν Ἡσίοδος (Theog. 124) Νυκτὸς γενεαλογεῖ ‘Νυκτὸς δ’ αὖτ’ Αἰθήρ τε καὶ Ἡμέρα‘. ἠὼς δέ, ἣν Ἡσίοδος (Theog. 371 sq. 374) Θείας ὑποτίθεται ‘Θεία δ’ Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην Ἠῶ θ’, ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει, γείνατο‘· ἐπὶ δὲ τῆς σωματοειδοῦς (Hom. Od. xv 250) ‘ἀλλ’ ἤτοι Κλεῖτον χρυσόθρονος ἥρπασεν Ἠώς‘. ἦις , ἦσθα, φησίν, διαφέρει παρὰ το[ῖς] Ἀττικοῖς.

eta 87 τὸ μὲν γὰρ ἦσθα τὸν παρῳχημένον χρόνον δηλοῖ, τὸ δὲ ἦς τὸν μέλλοντα. ὁ γοῦν Ἕκτωρ φησίν (Hom. Il. xxii 233)· ‘Δηΐφοβ’, ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦσθα‘. καὶ Μένανδρος ἐν Κόλακι (50 sq. Keo.—Th. 2 ) ‘ἄνθρωπε, πέρυσι νεκρὸς ἦσθα καὶ πτωχός, νυν 〈ὶ〉 δὲ πλουτεῖσ‘. ἐπὶ δὲ τοῦ ἦς πάλιν Μένανδρος (fr. 454 Keo.—Th. 2 ) ἐν Ψευδηρακλεῖ ‘ὑπὲρ μὲν οἴνου μηδὲ γρύ, τίτθη, λέγε, ἂν τἆλλα δ’ ἦς ἄμεμπτο[ς], ἕκτην ἐπὶ δέκα Βοηδρομιῶνος ἐνδελεχῶς ἕξεις ἀεί‘. καὶ καθόλου πάντα οὕτως λέγεται ἐπὶ τοῦ μέλλοντος καὶ κατὰ τὴν 〈ἡμ〉 ετέραν συνήθειαν, οἷον «ἐὰν νοῇς· ἐὰν λαλῇς· ἐὰν ἦς ἀγαθός». ὁ γοῦν λέγων πρός τινα «ἦς ποτε πλούσιος», ἀγνοήσει τὴν διαφοράν· δέον γὰρ ἦν φάναι «ἦσθα». ἦ πάλιν τάσσει Ὅμηρος ἀντὶ τοῦ ἔφη (Il. i 528 xvii 209) ‘ἦ 〈καὶ〉 κυανέῃσιν‘. διαφέρει δὲ τὰ ῥήματα τῇδε, ὅτι τὸ μὲν ἦ ἐπὶ μόνου τοῦ τρίτου τάσσεται προσώπου, τὸ δὲ ἔφη ἐπὶ τῶν τριῶν· ἔφην ἐγώ, ἔφης σύ, ἔφη ἐκεῖνος. ἠγγύα καὶ ἠγγυᾶτο διαφέρει.

eta 88 ἠγγύα, ὡμολόγει δώσειν· ἠγγυᾶτο ὁ λαμβάνων. ἐγγυῶ τὸ ὁμολογῶ δοῦναι· ἐγγυῶμαι δὲ τὸ λαμβάνω καὶ ἐν χερσὶ φυλάττω. ὅθεν καὶ ἐγχειρίσαι τὸ δοῦναι· ἐγγύη γὰρ ἡ ἐπὶ ἀσφαλείᾳ πίστις καὶ ἡ ἀσφαλὴς καὶ ἐστηριγμένη δόσις. ἀρχὴ τοῦ θ θεωρὸς καὶ θεατὴς διαφέρει.

theta 89 ὁ μὲν γὰρ εἰς θεοὺς πεμπόμενος, θεωρός, θεατὴς δὲ ἀγώνων καὶ θεάτρων. Εὐριπίδης ἐν Ἴωνι (301) ‘πότερον θεατὴς ἢ χάριν μαντευμάτων‘, τουτέστι θεωρός. καὶ Αἰσχύλος (fr. 289 Radt) ‘βοᾶς τοσούτου πράγματος θεωρὸς ὤν‘. ἁμαρτάνουσιν οἱ λέγοντες «θεωρῆσαί με δεῖ τὸν ἀγῶνα», δέον εἰπεῖν «θεάσασθαι». διαστέλλει δὲ ταῦτα ἐπιμελῶς Λυσιμαχίδης (fgrh 366 f 9) ἐν τῷ πρὸς Κεκίλιον (cf. fr. 155 Of.) Περὶ τῶν παρὰ τοῖς Ἀττικοῖς ῥήτορσιν, καὶ πολλὰς παρεισβάσεις ποιεῖται. καὶ ἔστι τὸ θεάσασθαι, ὥσπερ πρόκειται, παρὰ τὴν θέαν· τὸ θεωρεῖν, φησίν, οὐκ ἄλλο τι ἢ τὸ φροντίζειν. διὸ καὶ τοὺς οὐχὶ θυμάτων ἕνεκα πεμπομένους, τοῦ δὲ συνθῦσαι χάριν καὶ εὐσεβεῖν, πάντες ὀνομάζουσι 〈θεωρούσ〉 · καὶ 〈τὸ〉 τοῖς Ἀθηναίοις διδόμενον θεωρικὸν οὐ διὰ τὰς θέας, ὡς Κεκίλιος ὑπέλαβεν, ἀλλὰ διὰ τὸ ἐν ταῖς ἑορταῖς δίδοσθαι ἕνεκα τοῦ εἰς θεοὺς εὐσεβεῖν καὶ ἐπιθύειν καὶ εὐφραίνεσθαι. θύεσθαι τοῦ σφάττεσθαι διαφέρει.

theta 90 ὅτι τὸ μὲν θύεσθαι ἐπὶ τιμῇ θεοῦ· καὶ μαντεύεσθαι διὰ σπλάγχνων θύεσθαί φαμεν. τὸ δὲ σφάττεσθαι καθ’ ἥντινα οὖν αἰτίαν φονεύεσθαι. καὶ τὸ μὲν ἐπ’ ἀλόγου, τὸ δὲ ἐπ’ ἀνθρώπου τάσσεται. θηβαῖοι καὶ Θηβαγενεῖς διαφέρει.

theta 91 Δίδυμος (p. 238 Schmidt) ἐν Ὑπομνήματι τῶν παιάνων Πινδάρου φησίν (fr. 66 Sn.—M.)· “καὶ τὸν τρίποδα ἀπὸ 〈τούτου〉 Θηβαγενεῖς πέμπουσι τῶν χρυσέων εἰς Ἰσμήνιον πρῶτον. τίς δέ ἐστιν ἡ διαφορὰ τῶν Θηβαγενῶν πρὸς Θηβαίους, Ἔφορός φησιν οὕτως (FGrH 70 f 21)· ‘οὗτοι μὲν οὖν συνετάχθησαν εἰς τὴν Βοιωτίαν, τοὺς δὲ τοῖς Ἀθηναίοις ὁμόρους προσοικοῦντας ἰδίᾳ

Θηβαῖοι προσηγάγοντο πολλοῖς ἔτεσιν ὕστερον· οἱ ο〈ὖ〉ν σύμμικτοι μὲν ἦσαν πολλαχόθεν, ἐνέμοντο δὲ τὴν ὑπὸ τὸ〈ν〉 Κιθαιρῶν〈α〉 χώραν καὶ τὴν ἀπεναντίον τῆς 〈Εὐ〉βοίας· ἐκαλοῦντο οἱ μὲν σύμπαντες Θηβαγενεῖς, ὅτι προσεγένοντο τοῖς ἄλλοις Βοιωτοῖς διὰ Θηβαίων‘.” θύουσι καὶ θύονται διαφέρει.

theta 92 θύουσι μὲν οἱ τὰ ἱερεῖα σφάζοντες, θύονται δὲ οἱ διὰ τῶν σπλάγχνων μαντευόμενοι. θύραν καὶ θυραίαν φησὶ διαφέρειν.

theta 93 θυραία μὲν γάρ ἐστι τὸ μέλλον πρὸς ἐκκοπὴν θύρας, θύρα δὲ ἡ ἐξ ἀρχῆς γινομένη, ὡς Μένανδρος (fr. 331 Keo.—Th. 2 ) ἐν Παρακαταθήκῃ. θαλαμὰς ὡς ἀγαθὰς καὶ θαλάμας ὡς μεγάλας διαφέρειν φασίν, ὡς Τρύφων (fr.

theta 94 9 Vels.) ἐν δευτέρῳ Περὶ Ἀττικῆς προσῳδίας. ἐὰν μὲν γὰρ ὀξυτόνως, δηλώσει τὸ τῶν Διοσκο〈ύ〉ρων· ἐὰν δὲ βαρυτονήσωμεν, θαλάμας ὡς μεγάλας, τὰς καταδύσεις μηνύσει. θόλος καὶ θολὸς διαφέρει.

theta 95 θόλος τὸ οἰκοδόμημα, ὃ νῦν καμάραν καλοῦσιν· θολὸς δὲ τὸ μέλαν τῆς σηπίας. θής , λάτρις, ἀμφίπολος, ἄτμενος διαφέρειν φησίν.

theta 96 θὴς μὲν γὰρ ὁ ἐπὶ μισθῷ δουλεύων. λάτρις δὲ ὁ κατὰ πολεμικὴν περίστασιν ἁλοὺς καὶ εἰς δουλείαν ταχθείς. ἀμφίπολος δὲ καὶ ἄρσενος καὶ θηλείας ὄνομα. ἄτμενος δὲ οὐ μόνον ὁ δοῦλος, ἀλλὰ καὶ ὁ ὑποτεταγμένος ἐλεύθερος. ἀρχὴ τοῦ ι ἴσθι καὶ γίνου διαφέρειν φασίν.

iota 97 τὸ μὲν ἐπὶ τοῦ γίνωσκε τάσσεται· Ὅμηρος (Od. xi 223 sq.) ‘[τα]ῦτα δὲ πάντα ἴσθ’, ἵνα καὶ μετόπισθε τεῇ εἴπῃσθα γυναικί‘. καὶ τὸ πληθυντικὸν «ἴστε», τουτέστι «γινώσκετε». καὶ Εὐριπίδης ἐν Χρυσίππῳ (fr. om. N.—Sn. 2 ) ‘σιγῶ 〈 〉‘. Μένανδρος (herois fr. 5 Keo.—Th. 2 ) ‘εὖ ἴσθι‘. Σοφο[κλῆς] ἐν Παλαμήδ[ει] (fr. 478 Radt) ‘ἔφηβος ἴσθι μοῦνον‘, ἀντὶ τοῦ γίνου. καὶ Αἰσχύλος ἐν Χοηφόροις (cf. V. 147) ‘ἡμῖν ἠὼς ἴσθι‘. καὶ ἐν Ἀλόπῃ (fr. om. Radt, at vide Eur. Inus fr. 406, 1 N. —Sn. 2 ) ‘μὴ δὲ σκυθρωπὸς ἴσθι‘. 〈 〉 ‘ταῦτ’ ἴστε νόμου‘ (fr. Ign.) ἰταλοὶ καὶ Ἰταλιῶται διαφέρει.

iota 98 Ἰταλοὶ μὲν γάρ εἰσιν οἱ ἐξ ἀρχῆς τὴν χώραν οἰκήσαντες, Ἰταλιῶται 〈δὲ〉 ὅσοι τῶν Ἑλλήνων ἐπῴκησαν μετὰ ταῦτα. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν Σικελῶν καὶ Σικελιωτῶν. ἰσθμὸς καὶ πορθμὸς διαφέρει.

iota 99 ἰσθμὸς μὲν γάρ ἐστι στενὴ δίοδος ἠπείρου ἀμφιθαλάσσης· πορθμὸς δὲ στενὸς καθ’ ἑκάτερον μέρος ἠπείρους ἔχων ἑτερογενεῖς. ἱκέσθαι καὶ ἀφικέσθαι διαφέρειν φησὶν Ἡρακλείδης (fr.

iota 100 5 Cohn). ἱκέσθαι μὲν γάρ ἐστιν ἀντὶ 〈τοῦ〉 ἐλθεῖν, ἀφικέσθαι δὲ ἀντὶ τοῦ ἐπανελθεῖν. Ὅμηρος τηρεῖ τὴν διαφοράν (Il. xiii 644 sq.) ‘Ἁρπαλίων, ὅ ῥα πατρὶ φίλῳ ἕπετο π〈τ〉 ολεμίζων ἐς Τροίην· ο〈ὐ〉δ’ αὖτις ἀφίκετο πατρίδα γαῖαν‘ καὶ πάλιν (Od. vii 80) ‘ἵκετο δ’ ἐς Μαραθῶνα καὶ εὐρυάγυιαν Ἀθήνην‘. ἰουδαῖοι καὶ Ἰδουμαῖοι διαφέρειν φησὶ Πτολεμαῖος (FGrH 199 f 1) ἐν πρώτῳ Περὶ Ἡρῴδου τοῦ βασιλέως.

iota 101 Ἰουδαῖοι μὲν γάρ εἰσιν οἱ ἐξ ἀρχῆς φυσικοί· Ἰδουμαῖοι δὲ τὸ μὲν ἀρχῆθεν οὐκ Ἰδουμαῖοι, ἀλλὰ Φοίνικες καὶ Σύροι, κρατηθέντες δὲ 〈ὑπ’ αὐτῶν καὶ ἀναγκασθέντεσ〉 περιτέμνεσθαι καὶ συντελεῖν εἰς τὸ ἔθνος καὶ τὰ αὐτὰ νόμιμα ἡγεῖσθαι, ἐκλήθησαν Ἰδουμαῖοι. χρῆ 〈δὲ〉 γινώσκειν ὥς 〈τινεσ〉 τῶν Ἑλλήνων τῶν συγγραφέων—τῶν θείων γραφῶν ἀπείρων ὄντων—τοῦ περὶ Ἰουδαίων καὶ Ἰδουμαίων διήμαρτον λόγου. Ἰουδαῖοι μὲν γὰρ οἱ ἐξ Ἰούδα τετάρτου παιδὸς 〈Ἰακὼβ〉 ἐκλήθησαν· οὗτοι δὲ ἐκ γένους εἰσὶν Ἀβραάμ· Ἰδουμαῖοι δὲ Ἠσαῦ τοῦ ἀδελφοῦ Ἰακώβου παιδὸς Ἰσαὰκ υἱοῦ Ἀβραὰμ ἀπόγονοι πεφύκασιν ἐξ Ἐδώμ. ἀρχὴ τοῦ κ κύριος καὶ δεσπότης διαφέρει.

kappa 102

κύριος μὲν γὰρ τῆς γυναικὸς ὁ ἀνὴρ καὶ υἱῶν ὁ πατήρ, δεσπότης δὲ ἀργυρωνήτων. κυεῖν καὶ τίκτειν διαφέρει.

kappa 103 κυεῖν μὲν γὰρ τὸ ἔγκυον εἶναι, τίκτειν δὲ τὸ ἀπαλλάττεσθαι τοῦ κυεῖν. Εὐριπίδης ἐν Ἀντιόπῃ (fr. 207 n. 2 ) ‘κυοῦσα τίκτω‘. κομᾶν τοῦ γαυριᾶν διαφέρει.

kappa 104 〈κομᾶν μὲν τὸ γαυριᾶν〉 ἐπί τινι ἔλεγον οἱ ἀρχαῖοι, φησὶ Τρύφων (fr. om. Vels.)· τὸ δὲ νῦν κομᾶν κυρίως 〈τὸ κουριᾶν〉. Σιμωνίδης ἐν πρώτῳ ἰάμβῳ (fr. 10 a W.) ‘καὶ μήτ’ ἄλουτος γα〈υ〉ρία ὤν, μήθ’ ὕδωρ θαύμαζε, μηδὲ κουρία γενειάδα, μηδὲ ῥύπο〈υ〉 χιτῶνα ἕσσον ἐν χροΐ‘. κωφὸς καὶ ἐνεὸς ὁ αὐτὸς παρὰ τοῖς ἀρχαίοις ἐλέγ[ετο], ὁ μὴ φθεγγόμενος.

kappa 105 Ὅμηρος (Il. xiv 16) ‘κύματι κωφῷ‘, τὸ ‘ἀψόφῳ‘. καὶ ἡ Πυθία φησίν (Parke—Wormell, The Delphic Oracle, ii n. 52 = Herod. i 47, 3, 2)· ‘καὶ κωφοῦ ξυνίημι καὶ οὐ λαλέ[ο]ντος ἀκούω‘. παραλλήλως γὰρ ἔταξαν. νῦν δὲ κωφὸς ὁ τὴν ἀκοὴν βεβλαμμένην ἔχων. κίθαριν καὶ κιθάραν διαφέρειν φησὶν Ἀριστόξενος (fr.

kappa 106 102 Wehrli) ἐν τῷ Περὶ ὀργάνων. κίθαριν μὲν γὰρ εἶναι τὴν λύραν καὶ τοὺς χρωμένους αὐτῇ κιθαριστάς, οὓς ἡμεῖς λυρῳδούς φαμεν, κιθάραν δὲ ᾗ χρῶνται οἱ κιθαρῳδοί. καὶ Αἰσχίνης ἐν τῷ Κατὰ Τιμάρχου (1, 41) διαστέλλων φησὶν οὕτω· ‘εἶχε περὶ αὑτὸν κιθαριστὰς καὶ κιθαρῳδούσ‘. κατοίκισις καὶ κατοίκησις διαφέρει, ὥς φησιν Ἀπολλωνίδης ὁ Νικαεὺς ἐν πρώτῳ Περὶ κατεψευσμένων ἱστροριῶν.

kappa 107 καὶ λέγει· ‘κατοίκισις μὲν γάρ ἐστιν ἡ ἐφ’ ἑτέρων γινομένη ἵδρυσις· κατοίκησις δὲ ἐπὰν αὐτοί τινες οἰκήσουσι πόλεις ἢ τόπον καταλαβόντες τινά. οἷον Ἀθηναῖοι κατῴκησαν μὲν περὶ τὴν νῦν ἀκρόπολιν, κατῴκισαν δὲ Ἴωνας. καὶ ἔστι παρὰ μὲν τὸ κατοικεῖν ἡ κατοίκησις, παρὰ δὲ τὸ κατοικίζειν ἡ κατοίκισισ‘. λίβανος καὶ λιβανωτὸς διαφέρει.

kappa 108 Λίβανος μὲν γάρ ἐστι τὸ ὄρος 〈καὶ τὸ δένδρον〉, λιβανωτὸς δὲ τὸ ἀπὸ τοῦ δένδρου δάκρυον θυμιώμενον. Εὐριπίδης (Bacch. 144) συγχεῖ ἐναντίως ὡς ἐπὶ 〈τοῦ〉 θυμιᾶν τὸ λίβανον· καὶ Σοφοκλῆς ἐν Τηρεῖ (fr. 595a Radt)· καὶ Σαπφὼ (fr. 44, 30 L.—P. = 44, 30 Voigt) ἐν δευτέρῳ λίβανον τὸ λιβανωτὸν λέγει. λῆμμα μέν ἐστι διὰ β′ μμ τὸ κέρδος, λῆμα δὲ δι’ ἑνὸς μ ἡ ἀνδρεία.

kappa 110 λαχεῖν καὶ κληρώσασθαι διαφέρει. λαγχάνει μὲν γὰρ εἷς ἀπὸ πάντων, κληροῦνται δὲ πάντες. λέχος καὶ εὐνὴ διαφέρει.

kappa 111 λέχος μὲν γάρ ἐστιν ἡ κλίνη, εὐνὴ δὲ ἡ ἐπ’ αὐτῆς στρωμνή. φησὶ γοῦν Πηνελόπη (Hom. Od. xxiii 179 sq.) ‘ἐμβάλετ’ εὐνήν, δέμνια καὶ χλαίνασ‘. ἐξηγεῖται δὲ (ibid. 180) τὴν εὐνήν, ὅ ἐστι δέμνια καὶ χλαῖναι. λυχνίον καὶ λυχνοῦχος διαφέρει.

kappa 112 λυχνίον μὲν γάρ ἐστιν ἡ λυχνία, ὥς φησιν Ἀντιφάνης ἐν Ἀφ[ροδίτῃ] (fr. 55, 2 K.), λυχνοῦχος δὲ ὁ φανός. Μένανδρος (fr. 291 Keo.—Th. 2 ) ἐν Νομοθέτῃ ‘ἑτέρου λυχνοῦχος, ἑτέρου λήκυθοσ‘. ἀρχὴ τοῦ λ λαβεῖν καὶ δέξασθαι διαφέρει.

lambda 113 λαβεῖν μὲν γάρ ἐστι τὸ ἀνελέσθαι ἀπὸ τοῦ μηδὲν διδόντος· Ὅμηρος (Il. xv 229) ‘ἀλλὰ σύ γ’ ἐν χε〈ί〉ρ〈εσ〉σι λάβ’ αἰγίδα θυσ〈σ〉ανόεσ〈σ〉αν‘. δέξασθαι δὲ τὸ παρά τινος προτεινόμενον· καὶ ἐσχημάτισται παρὰ τὴν δεξιάν, ἡ δ’ αὐτὴ δεξιὰ παρὰ τὸ δέξασθαι· ‘Θέμιστι δὲ καλλιπαρήῳ δέκτο δέπας περικαλλέσ‘ (Hom. Il. xv 87 sq.) ἀρχὴ τοῦ μ μεῖραξ καὶ μειράκιον ὅτι διαφέρει εἴρηται ἐν τῇ περὶ τοῦ γέροντος καὶ πρεσβύτου διαφορᾷ (Gl.

mu 114 42). νῦν δὲ κατ’ ἄλλην ἔννοιαν Ἀριστοφάνης (fr. nov.) τὴν ὀνομασίαν κατέταξε· φησὶ γοῦν ἐν Γήρᾳ ‘〈τὴν〉 μεῖρακ’ ἰδὼν πληκτιζομένην 〈τοὺς〉 ὄρχεις μειρακίῳ τῷ‘. ὑπομνηματιζόμενος Δίδυμος (fr. nov.) τὸ δρᾶμα καὶ προσθεὶς τὸν στίχον ἐπιλέγει ὅτι μεῖραξ μὲν θῆλυ, μειράκιον δὲ ἄρρεν. μνήμη καὶ μνεία διαφέρει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

mu 115 εἴ τι μὲν γάρ ἐστι μνήμη, τοῦτο οὐ πάντως μνεία· εἴ τι δὲ μνεία, τοῦτο εὐθέως μνήμη. ἔστι δὲ μνήμη γενικὴ τύπωσις ψυχῆς, μνεία δὲ λόγος κατ' ἀνανέωσιν λεγόμενος· ὁ γὰρ μιμνησκόμενος πάντως καὶ μέμνηται, ὁ δὲ μεμνημένος οὐ πάντως καὶ μέμνηται. ἔτι μνήμη ἐστὶν ἡ τῷ μνημονευτικῷ συνοικοῦσα, μνεία δὲ προγεγονότος τινὸς ὑπόμνησις, ὥστε ὁ τούτοις ἐναλλὰξ χρώμενος ληρεῖ. μεταβαλεῖν τοῦ μεταμορφοῦσθαι καὶ ἀλ〈λ〉οιοῦσθαι καὶ ἑτεροιοῦσθαι διαφέρει.

mu 116 μεταβολὴ μέν ἐστι πάθος κοινόν· καὶ γὰρ καιρῶν γίνονται μεταβολαὶ καὶ πράξεων καὶ ἀφροδισίων. ὁ γοῦν Εὐριπίδης ἐν Ὀρέστῃ (234) παριστῶν τὴν δύναμιν τῆς λέξεώς φησιν· 'μεταβολὴ πάντων γλυκύ'. μεταμόρφωσις δὲ μορφῆ〈σ〉 μεταχαρακτηρ〈ισμ〉ὸς καὶ μετατύπωσις σώματος εἰς ἕτερον χαρακτῆρα〈. ἀλλοίωσις δὲ οὐ μόνον μετασχηματισμὸς χαρακτῆροσ〉, ὥς φησιν Ὅμηρος (Od. xvi 181) 'ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον ἢ τὸ πάροιθεν', ἀλλὰ καὶ τῆς προτέρας ὑπολήψεως ποίησις ἑτέρα. ἑτεροίωσις δὲ ὡς ἀφ' ἑτέρου σώματος εἰς ἕτερον μεταβολή, ὡς Νιόβη εἰς λίθον. μισητὴ ὀξυτόνως καὶ μισήτη βαρυτόνως διαφέρει παρὰ Ἀττικοῖς, ὥς φησι Τρύφων (fr.

mu 117 10 Vels.) ἐν δευτέρῳ Περὶ Ἀττικῆς προσῳδίας. ἐὰν μὲν γὰρ ὀξυτονήσωμεν, φησίν, τὴν ἀξίαν μίσους δηλοῖ, ἐὰν δὲ βαρυτονήσωμεν, καταφερὴς πρὸς συνουσίαν. τὴν 〈δὲ〉 διαφορὰν τ[ῶν σημαινο]μένων καὶ παρὰ Δωριεῦσί φησι φυλάττεσθαι καὶ παρ' Ἴωσιν· 'μισήτη γυνή' ὁ Ἀρχίλ[ο]χος (fr. 206 W.). μάχη καὶ πόλεμος διαφέρει.

mu 118 μάχη μὲν ἡ ἐν πολέμοις ἐνέργεια, πόλεμος δὲ ὁ χρόνος καὶ ἡ πρὸς τὴν μάχην παρασκευή. μηρία καὶ μηροὶ διαφέρει.

mu 119 μηρία μὲν γὰρ τὰ ἐναγιζόμενα τοῖς θεοῖς, μηροὶ δὲ τὰ μὴ οὕτως ἔχοντα. μνᾶται καὶ μνηστεύεται διαφέρει.

mu 120 μνᾶται μὲν ὁ ἀνὴρ γυναῖκα, μνηστεύεται δὲ ἡ γυνὴ ἄνδρα. ἀρχὴ τοῦ ν νεαρὸν νεαλοῦς καὶ προσφάτου διαφέρει.

nu 121 νεαρὸν μὲν γάρ ἐστι τὸ νεωστὶ ὕδωρ κομισθέν· ἔγκειται γὰρ τῇ λέξει τὸ ἀρύειν. πρόσφατον δὲ τὸ κρέας· πεποίηται γὰρ ἀπὸ τοῦ φάσαι, ὅ ἐστι φονεῦσαι· ὅθεν καὶ τὸ φάσγανον. νεαλὲς δὲ τὸ νεωστὶ ἑαλωκός, οἷον ἰχθύς· δύναται δὲ καὶ τὸ ἁλσὶ νεωστὶ πεπασμένον. νῆες τῶν πλοίων διαφέρει.

nu 122 Δίδυμος (p. 321 Schmidt) ἐν Ἱστορικῷ φησιν οὕτως· ὅτι διαφέρουσιν αἱ νῆες τῶν πλοίων. αἱ μὲν γὰρ νῆές εἰσι στρογγύλαι, αἱ δὲ στρατιώτιδες. Ἀριστοτέλης (fr. 614 R.) δέ φησιν ἐν τοῖς Δικαιώμασι τῶν πόλεων οὕτως· 'ὑπὸ δὲ τὸν αὐτὸν χρόνον Ἀλέξανδρος ὁ Μολοττός, αὐτὸν καταπεμψαμένων Ταραντίνων ἐπὶ τὸν πρὸς τοὺς βαρβάρους πόλεμον, ἐξέπλευσε ναυσὶ μὲν πεντεκαίδεκα, πλοίοις δὲ συχνοῖς ἱππαγωγοῖς καὶ στρατιωτικοῖσ'. νηρεῗδας καὶ Νηρέως θυγατέρας φασὶ διαφέρειν.

nu 123 Δίδυμος (p. 300 schmidt) ἐν Ὑπομνήματι Βακχυλίδου Ἐπινίκων (cf. 1, 8 et 13, 123 Sn.—M.) κατὰ λέξιν· 'εἰσὶ τοίνυν οἵ φασι διαφέρειν τὰς Νηρεΐδας τῶν Νηρέως θυγατέρων, καὶ τὰς μὲν ἐκ Δωρίδος γνησίας αὐτοῦ θυγατέρας νομίζεσθαι, τὰς δὲ ἐξ ἄλλων κοινότερον Νηρεΐδας [κ]αλεῖσθαι· καὶ τὰς μὲν γνησίας ἓξ τὸν ἀριθμόν, πλείους 〈 〉 τοῖς Περὶ τῆς Εὐρώπης (FHG iii p. 154 fr. 25b) τὸν τρόπον τοῦτον'. πιθανὸν οὖν τὰς μὲν ἐκ μιᾶς, ἐκ Δωρίδος, γνησιωτέρας τῶν ἄλλων οὔσας Νηρέως θυγατέρας λέγεσθαι, τὰς δὲ συμμίκτους αὐτῶν Νηρεΐδας. νῦν καὶ νυνὶ σὺν τῷ ι διαφέρει, φησὶν Ἡρακλείδης (fr.

nu 124 4 Cohn) ἐν τῷ πρώτῳ Περὶ καθολικῆς προσῳδίας. τὸ μὲν γὰρ καθολικὸν ἐπίρρημα τάσσεσθαι ἐπὶ τῶν τριῶν χρόνων, ἐνεστῶτος, παρῳχημένου, μέλλοντος, οἷον «νῦν δ〈ι〉ῆλθεν ὁ ἀγών, νῦν ἔσται ὁ ἀγών»· τὸ δὲ νυνὶ ἐπὶ μόνου τοῦ ἐνεστῶτος. νεανίσκος καὶ νεανίας διαφέρει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

nu 125 εἴρηται ἐν τῇ τοῦ γέροντος καὶ πρεσβύτου διαφορᾷ (Gl. 42). ἀρχὴ τοῦ ξ ξόανον , βρέτας, ἄγαλμα διαφέρει.

xi 126 ξόανον μὲν γάρ ἐστι τὸ ἐξεσμένον εἴδωλον ξύλινον ἢ ἐλεφάντινον, βρέτας δὲ τὸ βροτῷ ὅμοιον ἤτοι χαλκοῦν ἢ ἐξ ἐμφεροῦς ὕλης πεποιημένον, ἄγαλμα δὲ τὸ Πάριον 〈ἢ ἔκ〉 τινος ἑτέρου λίθου κατεσκευασμένον. ἀρχὴ τοῦ ο οἰκεῖοι καὶ οἰκῆες, φησίν, διαφέρει.

omicron 127 οἰκεῖοι μὲν γὰρ οἱ κατ' ἐπιγαμίαν προσήκοντες, οἰκῆες δὲ πάντες οἱ ἐν τῇ αὐτῇ οἰκίᾳ ὄντες, εἴτε οἰκέται εἴτε ἐλεύθεροι. φησὶ γοῦν Ἕκτωρ (Hom. Il. vi 365 sq.)· ‘οἶκόνδ' ἐσελεύσομαι, ὄφρα ἴδω 〈μαι〉 οἰκῆασ‘. (Hom. Il. v 412 sq.) ‘μὴ δὴν Αἰγιάλεια, περίφρων Ἀδρηστίνη, ἐξ ὕπνου γο 〈ό〉 ωσα φίλους οἰκῆας ἐγείρῃ‘, καὶ ἐν Ὀδυσσείᾳ (xiv 4) ‘κήδετο οἰκήων, οὓ〈σ〉 κτήσατο δῖος Ὀδυσσεύσ‘. οἶκτος οἰκτισμοῦ διαφέρει.

omicron 128 οἶκτος μὲν γὰρ ο〈ἰ〉 κτιζομένου ἔλεος, οἰκτισμὸς δὲ ὁ λόγος τοῦ οἰκτείροντος. ὀρνιθευτὴς ὀρνιθοσκόπου διαφέρει.

omicron 129 ὀρνιθευτὴς ὁ θηρεύων, ὀρνιθοσκόπος ὁ μάντις. οὗτος καὶ οὑτοσὶ διαφέρει.

omicron 130 οὑτοσὶ σὺν τῷ ι δεικτικὸν μόνον, τὸ δὲ οὗτος δεικτικὸν καὶ ἀναφορικόν. δεικτικὸν μέν (Hom. Il. x 341)· ‘οὗτός τοι, Διόμηδες, ἀπὸ στρατοῦ‘, ἀναφορικὸν δέ (Hes. Opp. 293)· ‘οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσει‘. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦτον καὶ τουτονί. οὐδὲν διὰ τοῦ δ καὶ οὐθὲν διὰ τοῦ θ μακρῷ διαφέρει.

omicron 131 οὐδὲν γὰρ λέγεται τὸ ἐν τῷ καθόλου, οἷον ὅταν λέγωμεν· «οὐδὲν ἐν κόσμῳ κενόν». τὸ δὲ διὰ τοῦ θ λεγόμενον συνείληπται ἐκ τοῦ οὔτε καὶ τοῦ ἕν, οἷον «οὔτε ἓν οὔτε δύο». ὁ οὖν ἐναλλάσσων ἁμαρτάνει· διὸ καὶ Ζηνόδοτον εὐθύνουσι γράφοντα ‘οὐθὲν ἀκιδνότερον‘ διὰ τοῦ θ (ad Hom. Od. xviii 130). ὀλίγον καὶ μικρὸν διαφέρει.

omicron 132 τὸ μὲν γὰρ ὑπ' ἀριθμῷ, τὸ δὲ ἐπὶ μεγέθους τάσσεται. οὕτω Νικίας (loc. Ign.) ἐν Ὑπομνήματι Ἑκάλης ἐπὶ στί[χ]ου (Callim. fr. 470b Pf.)· ‘–⏑⏑– ὀλίγην τε παρὲκ νησῖδα –‘. ‘τὴν μικρὰν ὑπαλλακτικῶς. τὸ μὲν γὰρ ὀλίγον ἐπ' ἀριθμῷ, τὸ δὲ μικρὸν ἐπὶ μεγέθει τάσσεται‘. καὶ Ὅμηρος ἀδιαφόρως (Od. xx 259)· ‘ὀλίγην τε τρά[πε]ζαν‘, ἀντὶ τοῦ μικράν. ὅσια καὶ ἱερὰ διαφέρει.

omicron 133 ὅσια μὲν γὰρ τὰ ἰδιωτικά, ὧν ἐφίεταί τ[ις] καὶ ἔξεστι προσάψασθαι, ἱερὰ δὲ τὰ τῶν θεῶν, ὧν οὐκέτι ἔξεστι προσάψασθαι. Δημοσθένης ἐν τῷ Κατὰ Τιμοκράτους (Or. 24, 9) λέγει· ‘ὥστε τίθησι τοῦτον τὸν νόμον, δι' οὗ τῶν μὲν ἱερῶν χρημάτων τοὺς θεούς, τῶν ὁσίων δὲ τὴν πόλιν ἀποστερεῖ‘. ἔλεγον δὲ ὁμοίως· βέβηλα μὲν τὰ ὅσια οἱονεὶ βάσιμα ὄντα, ἀβέβηλα δὲ τὰ ἱερὰ οἱονεὶ μὴ βάσιμα. ὄρθρος καὶ πρωῒ διαφέρει.

omicron 134 ὄρθρος μὲν ἡ πρὸ ἀνατολῆς ὥρα, καθ' ἣν ἐξ ὕπνου ἀναστάντες ὄρθιοι γινόμεθα, πρωῒ δὲ τὸ πρῶτον καθὰ Ὅμηρος (Il. viii 530 xviii 277.303)· ‘πρωῒ δ' ὑπηοῖοι‘. καὶ Ἡσίοδος (fr. 313 Merk.—W.) τελευτῆσαί τινά φησι ‘πρωῒ μάλ' ἠΐθεον‘. ὀψὲ καὶ ἑσπέρα διαφέρει.

omicron 135 ἑσπέρα μὲν γάρ [ἐ]στι τὸ μετὰ τὴν δύσιν τοῦ ἡλίου κατάστημα. ὀψὲ δὲ μετὰ πολὺ τῆς δύσεως καὶ κα[θό]λου μετὰ πολὺν χρόνον. Ὅμηρός φησιν (loc. Ign.)· ‘ὅτε δ' ἦν ὀψὲ εἶπε‘. οὕνεκα καὶ εἵνεκα διαφέρει.

omicron 136 τὸ μὲν γὰρ οὕνεκα σημαίνει τὸ ὅτι, τὸ δὲ εἵνεκα χάριν. ‘οὕνεκα τὸν Χρύσην‘ (Hom. Il. i 11) καὶ (Hom. Il. xix 325) ‘εἵνεκα ῥιγεδανῆς Ἑλένησ‘. ἥμαρτεν οὖν ὁ Καλλίμαχος (fr. 1, 3 Pf.) εἰπών· ‘εἵνεκα οὐχ ἓν [ἄει]σμα‘. ὀφλεῖν καὶ ὀφείλειν διαφέρει.

omicron 137 ὀφλεῖ μὲν γάρ τις ἐπὶ τῇ δίκῃ, ὀφείλει δὲ ὡς καὶ ἡμ[εῖς] φαμεν. ὅτι καὶ διότι διαφέρει.

omicron 138 τὸ μὲν γὰρ διότι αἰτίαν δηλοῖ· τὸ δὲ ὅτι ὁτὲ μὲν αἰτίαν, ὁτὲ δὲ βεβαίωσιν. αὐτίκα ὅτι μὲν ἐκλείπει ἡ σελήνη ἴσμεν, διότι δὲ οὐκέτι. οἴκαδε τοῦ εἰς οἶ[κον] διαφέρει.

omicron 139

τὸ μὲν γὰρ εἰς τὴν ἰδίαν οἰκίαν βαδίζειν, οἴκαδέ φαμεν, τὸ δὲ εἰς ἑτέραν, εἰς οἶκον. ἀρχὴ τοῦ π πόνηρον , ὡς σόλοικον, καὶ πονηρόν, ὡς νοσερόν, διαφέρειν φασίν· ὁμοίως 〈μόχθηροσ〉 καὶ μοχθηρός.

pi 140 πονηρὸς μὲν γάρ ἐστιν ὀξυτόν[ως] ὁ κακοήθης, βαρυτόνως δὲ ὁ ἐπίπονος· ὅτι δὲ ὀξυτονεῖν ὁ λόγος ἀπαιτεῖ ἐξ ἀνάγκης σαφές. πᾶν γὰρ παρώνυμον εἰς ρος λῆγον σχηματιζόμενον τοῖς γένεσιν ὀξύτονόν ἐστιν, οἷον κάματος καματηρός, ὄλισθος ὀλισθηρός, μέλι μελιτηρός. εἰ καὶ πόνος καὶ μόχθος τὰ πρωτότυπα, πονηρὸς καὶ μοχθηρὸς ὀξυτόνως. εἰ δ’ Ἀττικοὶ βαρυτονοῦσιν, οὐ θαυμαστόν· χαίρουσι γὰρ τῇ βαρύτητι. ἀδελφεὸν οὖν λέγουσιν· ὡς ἔθος οὖν τι τηροῦντες, οὕτω προηνέγκαντο. πρεσβεύεσθαι τοῦ πρεσβεύειν διαφέρει.

pi 141 πρεσβεύεσθαι τὸ πέμπειν πρέσβεις, πρεσβεύειν δὲ τὸ πέμπεσθαι πρεσβ〈ε〉υτάς. πολῖται καὶ πατριῶται διαφέρει.

pi 142 πολῖται οἱ τῆς αὐτῆς πόλεως μετέχοντες, πατριῶται δὲ οἱ 〈μὴ〉 κατὰ τὸν νόμον ἐν τῇ αὐτῇ ὄντες. πόλις καὶ ἄστυ διαφέρει.

pi 143 πόλις μὲν τὸ οἰκοδόμημα, ἄστυ δὲ ἡ κατασκευὴ τῆς πόλεως. πάγετος μὲν τὸ κρύος, παγετὸς δὲ ὁ χειμών.

pi 145 πάτρια καὶ πατρικοὶ καὶ πατρῷα διαφέρει. πατρῷα μὲν γὰρ τὰ ἐκ πατέρων εἰς υἱοὺς χωροῦντα· πατρικοὶ δὲ φίλοι ἢ ξένοι· πάτρια δὲ τὰ τῆς πατρίδος ἔθη. πρόξενος καὶ ἰδιόξενος καὶ δορύξενος διαφέρει.

pi 146 πρόξενος μὲν γὰρ πόλεως καὶ ἔθνους, ὡς παρὰ Θουκυδίδῃ (cf. e.g. ii 29, 1). ξένος δὲ εἷς ἑνός· καὶ ἰδιόξενος δὲ ὁ αὐτός. δορύξενος δὲ ὁ κατὰ πόλεμον γινόμενος φίλος· ἁλοὺς γὰρ καὶ ξενίων ἀξιωθείς, ἀφείθη πρὸ〈σ〉 τοῦ πολεμ〈ί〉ου λύτρα λαβόντος. πελαστὴς καὶ πενέ〈σ〉της διαφέρει.

pi 147 ὁ μὲν γάρ ἐστι 〈ὁ〉 πρόσφυξ, πενέ〈σ〉της δὲ ὁ πραθεὶς ἄλλοις 〈ἢ〉 κατὰ πόλεμον δουλωθείς, ὅπερ παρὰ Λάκωσιν οἱ Εἵλωτες. πλούσιος ἀφνειοῦ καὶ ὀλβίου διαφέρει.

pi 148 πλούσιος μὲν γάρ ἐστιν ὁ πολλὴν οὐσίαν ἔχων· ἀφνειὸς δὲ ὁ ἀπὸ ἐνιαυτοῦ τὴν οὐσίαν συλλέγων· ὄλβιος δέ ἐστιν ὁ τελείαν τὴν εὐδαιμονίαν ἔχων. πένης καὶ πτωχὸς διαφέρει.

pi 149 πένης μὲν γὰρ ἀπὸ τοῦ ἐργάζεσθαί τι καὶ πονεῖν περὶ τὸν βίον· πτωχὸς δὲ ὁ ἐπαίτης, ὃν ἐτυμολογῶν Ὅμηρός φησιν (Od. xvii 227 sq.)· ‘ἀλλὰ πτώσσων κατὰ δῆμον βούλεται 〈αἰ〉τίζων‘. παρέχειν καὶ παρέχεσθαι διαφέρει.

pi 150 παρέχει μὲν γάρ τις ἐσθῆτας, ἐκπώματα καὶ τὰ τοιαῦτα· παρέχεται δὲ προθυμίαν καὶ εὔνοιαν. πηδάλιον καὶ πλήθριον διαφέρει.

pi 151 πηδάλιον μὲν νηὸς λέγεται, πλήθριον δὲ σχεδίας. παιδί[σκη] καὶ παῖς διαφέρει.

pi 152 παιδίσκη μὲν γάρ ἐστιν ἡ ἐλευθέρα παρὰ Ἀττικοῖς, παῖς δὲ ἡ δούλη. παιδίον καὶ παιδάριον καὶ παιδίσκος καὶ παῖς διαφέρει.

pi 153 παιδίον μὲν γάρ ἐστι τὸ τρεφόμενον ὑπὸ τῆς τίτθης, παιδάριον δὲ τὸ ἤδη περιπατοῦν καὶ λέξεως ἀντεχόμενον, παιδίσκος δὲ ὁ ἐν τῇ ἐχομένῃ ἡλικίᾳ, παῖς δὲ ὁ διὰ τῶν ἐγκυκλίων μαθημάτων δυνάμενος ἰέναι. πλῆθος καὶ ὄχλος διαφέρει.

pi 154 ὄχλος μὲν γὰρ κυρίως ἡ ὄχλησις, πλῆθος δὲ σύστημά τινων. πῇ , ποῖ, ποῦ διαφέρει.

pi 155 τὼ μὲν γὰρ εἰς τόπον, τὸ δὲ ἐν τόπῳ· πῇ καὶ ποῖ εἰς τόπον· ‘πῇ ἔβη Ἀνδρομάχη;‘ (Hom. Il. vi 377) καὶ ‘ποῖ φεύγεις;‘ (cf. Hom. Il. viii 94 Ar. Plut. 438 Eur. Or. 598). τὸ δὲ ποῦ ὅτι ἐν τόπῳ σαφές· ‘ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα;‘ (Hom. Il. x 406). πολεμικὸς καὶ αἰχμητὴς διαφέρει· πολεμικὸν μὲν γὰρ τὸν ἔμπειρον πολέμων, αἰχμητὴν δὲ τὸν ἐμπείρως τοῖς κατὰ πόλεμον ὅπλοις χρώμενον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

pi 157 πῦς καὶ πεῖ καὶ πῶ καὶ τουτῶ διαφέρει παρὰ Δωριεῦσιν. τὸ μὲν γὰρ πῦς τὴν εἰς τόπον σημασίαν δηλοῖ· τὸ δὲ πεῖ τὴν ἐν τόπῳ· τὸ δὲ πῶ τὴν ἐκ τόπου, ὁμοίως δὲ καὶ τουτῶ (cf. Sophron. fr. 85 K.). ὥσθ’ οἱ δωρίζοντες καὶ λέγοντες «πεῖ πορεύῃ;» ἁμαρτάνουσιν· τὸ γὰρ πεῖ τὴν ἐν τόπῳ δηλοῖ. Σώφρων (fr. 5 K.)· ‘πεῖ γὰρ 〈ἁ〉 ἄσφαλτος;‘. (fr. 5 K.)· ‘πεῖ ἐσσί, λειοκόνιτε; —οὔτα‘, ἀντὶ τοῦ «ποῦ εἶ;». ὅταν δὲ εἰς τόπον θέλῃ εἰπεῖν, φησίν (fr. 75 K.)· ‘πῦς εἰς μυχὸν καταδύῃ;‘ τουτέστιν «εἰς τὴν ἄβυσσον». ἀρχὴ τοῦ ρ ῥ[ὶς] καὶ μυκτὴρ διαφέρει.

rho 158 ῥὶς μὲν ἡ ἀπὸ τοῦ μεσοφρύο〈υ〉 μέχρι τοῦ χείλους καταγωγή, μυκτὴρ δὲ αἱ τῆς ῥινὸς κατα〈τ〉ρήσεις, δι’ ὧν ἔξεισι τὸ ὑγρὸν ἀπομυσσομένων. ῥέφανον καὶ ῥάφανον διαφέρει〈ν φασὶ〉 παρὰ τοῖς Ἴωσι καὶ τοῖς Ἀττικοῖς.

rho 159 ῥέφανον μὲν γὰρ εἶναι ἣν καὶ ἡμεῖς φαμεν, ῥάφανον δὲ τὴν κράμβην. ῥεῖθρον ῥεύματος διαφέρει.

rho 160 ῥεῖθρον μὲν γάρ ἐστιν ὁ τόπος δι’ οὗ φέρεται 〈τὸ ῥεῦμα〉, ῥεῦμα δὲ αὐτὸ τὸ [ὕδωρ]. ἀρχὴ τοῦ ς σταφυλὴν ὀξυτόνως καὶ σταφύλην βαρυτόνως διαφέρει Πτολεμαῖος ὁ Ἀσκαλωνίτης (p.

sigma 161 42 Baege) ἐν τῷ δευτέρῳ Περὶ 〈τῶν〉 ἐν Ὀδυσσείᾳ προσῳδιῶν. τὸ μὲν βαρύτονον, φησίν, ὄνομα ἐπὶ τῆς καθι〈ε〉μένης μολιβδίδος παρὰ τοῖς ἀρχιτέκτοσι τίθεται, τὸ δὲ ὀξύτονον ἐπὶ τῆς ὀπώρας. ὁ δ’ αὐτὸς 〈ἐν τῷ δευτέρῳ〉 Περὶ τῶν ἐν Ἰλιάδι προσῳδιῶν κατὰ λέξιν φησίν· ‘σταφύλῃ ἐπὶ νῶτον ἐΐσας (Hom. Il. ii 765), σταφύλη βαρυτονητέον ὡς Νιόβη· ἔστι γὰρ οὐχ ὅμοιον τῇ συκῇ· τοῦτο γὰρ διαιρεῖται—συκέα—, ἐκεῖνο δὲ οὐ διαιρεῖται‘. Ἡρακλείδης δὲ ὁ ἡμέτερος (fr. 6 Cohn) ἡμαρτῆσθαί φησι παρὰ τοῖς ἑλληνίζουσιν ὀξυτόνως τὸ ὄνομα. οὐδὲν γὰρ τῶν εἰς λη ληγόντων θηλυκῶν ὀνομάτων, 〈ἀ〉μέτοχον γένους οὐδετέρου, παρατελευτῶντος τοῦ υ, ὀξυτονεῖται, ἀλλὰ πάντα 〈τὰ〉 ὑπὲρ δύο συλλαβὰς βαρυτονεῖται κατὰ τὸ υ, 〈οὐκ〉 ὀξυτονεῖται, βραχὺ ὂν τὸ στοιχεῖον, οἷον κρωβύλη, Καρδαμύλη, Φαισύλη—δοκεῖ δὲ αὕτη μία εἶναι τῶν τιθηνησαμένων τὸν Διόνυσον, ἃς ὁ Λυκοῦργος ‘〈σ〉εῦ〈ε〉 κατ’ ἠγάθεον Νυσήϊον‘ (Hom. Il. vi 133)— ἡδύλη, κορδύλη· ὅθεν καὶ τὸ σταφύλη βαρυτονητέον. οἱ οὖν ὀξυτονοῦντές φασιν ὅτι ἀπὸ βαρυτόνου ἀρσενικοῦ εἰς ος λήγοντος τὰ εἰς η λήγοντα ὀξυτονεῖται· ἐὰν γὰρ τὰ ἀρσενικὰ ὀξυτονῇ τις, τὰ θηλυκὰ βαρύνεται, οἷον πόθος / ποθή, νόμος / νομή, ὦνος / ὠνή, τῖμος / τιμή, φόνος / φονή· ‘ἐν ἀργαλέῃσι φονῇσιν‘ (Hom. Il. x 521). καὶ τὸ ἔμπαλιν Δαναός / Δανάη. ‘ἐπεὶ οὖν‘, φησίν, ‘καὶ ἐπὶ τούτου ἀρσενικός ἐστι Στάφυλος—οὕτως γὰρ ἐλέγετο ὁ υἱὸς Διονύσου—, τὸ θηλυκὸν σταφυλὴ ὀξυτονητέον. πρὸς οὓς ῥητέον· ἰδοῦ κόγχος / κόγχη, φίλος / φίλη, μόνος / μόνη, μύλος / μύλη· καὶ ἐπὶ τὸ ὀξυτονεῖν· καλός / καλή, σοφός / σοφή καὶ μυρία ἄλλα ὁμοτονεῖ τοῖς μὲν βαρυτόνοις τὰ βαρύτονα, τοῖς δὲ ὀξυτόνοις τὰ ὀξύτονα· ὅθεν οὐ παράδοξον καὶ ἀπὸ τοῦ Στάφυλος βαρυτόνου ὠνομάσθαι καὶ τὸ θῆλυ βαρυτονεῖν σταφύλη〈ν〉‘. Τινὲς δὲ βοηθεῖν τῇ συνηθείᾳ καὶ ὀξυτονεῖν βουλόμενοί φασιν· ὅσα τοῦ αὐτοῦ ἀπαραλλάκτως ἔχεται σημαινομένου ὁμοτονεῖ, ὅσα δὲ διαλλάσσει τῷ σημαινομένῳ καὶ τόνῳ διαλλάξει. ὁ μὲν φίλος καὶ φίλη, καὶ ὁ ξένος καὶ ξένη καὶ τὰ προκείμενα ἀπαράλλακτά ἐστιν, διὸ καὶ ὁμοτονεῖ, τὰ διαφέροντα οὐκ ἔστιν· καθάπερ χόλος / χολή, τρόπος / τροπή, νόμος / νομή, γόνος / γονή, δόμος / δομή, στρόφος / στροφή, πόθος / ποθή—περὶ τούτου ἐντελῶς εἴρηται ἐν ἄλλοις ὅτι διαφέρει. εἰ οὖν ἐστι Στάφυλος ἀρσενικόν, διαφέρει δὲ τῷ σημαινομένῳ, ἡ σταφυλή—ὀπώρα— δεόντως ὀξυτονεῖται. [Τοσ]οῦτον μέντοι ὁ λόγος· τὸ μέντοι προκείμενον παρὰ τοῦ Ἡρακλείδου παρατήρημα ἰσχυρὸν καθὸ παραγγέλλει βαρ[υ]τονεῖν οὐ μόνον διὰ τὰ παρακολουθοῦντα ἰδιώματα τῷ ὀνόματι, ἀλλ’ ὅτι καὶ ὑπὲρ δύο συλλαβῶν· τὰ δὲ προκείμενα δισύλλαβα. ὥστε ἡ Πτολεμαίου ἀναιρεῖται παρατήρησις, καθ’ ἣν διαφέρει τοῖς τόνοις τοὔνομα, φησίν, καὶ τῷ σημαινομένῳ. σημεῖον τέρατος διαφέρει.

sigma 162 σημεῖόν ἐστι τὸ ἐπὶ τοῦ ἀέρος γινόμενον, τέρας δὲ τὸ ἐν γῇ. συμμαχεῖν καὶ ἐπιμαχεῖν διαφέρει.

sigma 163 συμμαχεῖν μὲν γάρ ἐστι τὸ σὺν αὐτοῖς εἶναι, ὥς φησι Δίδυμος (p. 334 Schmidt) εἴτε αὐτοῖς ἐπίοιεν πολέμιοι εἴτε αὐτοὶ ἑτέροις ἐπιστρατεύοιεν. ἐπιμαχεῖν δὲ 〈 〉 εἰπὼν ἐν τῇ πρώτῃ (Thuc. i 44, 1) Κερκυραίοις Ἀθηναίους συμμαχίαν μὲν οὐ ποιήσασθαι, ἐπιμαχίαν δέ. στρατόπεδον στρατοῦ διαφέρει.

sigma 164 στρατόπεδον μὲν γάρ φησιν ὁ τόπος ἐν ᾧ ὁ στρατός ἐστιν, οἷον στρατο〈ῦ〉 πέδον· ὁ δὲ στρατὸς αὐτῶν τῶν στρατευομένων τὸ πλῆθος. Αἰσχύλος· 'μεθεῖται στρατὸς στρατόπεδον λιπών' (Septem 79). ὁ δ' Ὅμηρος συγχεῖ τὸν τόπον στρατὸν λέγων (Il. x 66)· 'πολλαὶ γὰρ ἀνὰ στρατόν εἰσι κέλευθοι' καὶ ἴσως Ἀττικῶς στρατὸν λέγει τὸν τόπον ἐν ᾧ ὁ στρατός, ὥσπερ ἐν ἄλλοις χρᾶται. φησὶ γοῦν (Hom. Od. xiii 407)· 'δήεις τόν γε σύεσσι παρήμενον'. σύεσσι γὰρ εἶπεν ἐν τῷ τόπῳ τῶν συῶν ἔνθα αὐλίζονται, διαφέρων δέ (ibid. 407 sq.) 'αἱ δὲ νέμ[ονται] πὰρ Κόρακος πέτρῃ'. συγχεῖ δὲ καὶ Θουκυδίδης (i 53, 3) τὴν διαφορὰν τοῦ στρατοῦ πρὸς τὸ στρατόπεδον· '〈τῶν δὲ Κερκυραίων τὸ μὲν στρατόπεδον〉 ὅσον ἐπηκολούθησεν ἀνεβόησεν'. καὶ Ἡρόδοτος ἐν πρώτῳ (i 76, 4)· 'τὸ μὲν στρατόπεδον δι' ἀμφοτέρους οὕτως ἠγωνίζετο'. σημεῖον καὶ τεκμήριον διαφέρει.

sigma 165 [Ἀν]τιφῶν ἐν πρώτῳ Τέχνης (fr. 72 Bl.—Th. = Artium Scriptores b x fr. 8 Rad.)· 'τὰ μὲν παροιχόμενα σημεί[οις] πιστοῦσθαι, τὰ δὲ μέλλοντα τεκμηρίοισ'. σεῖο καὶ σοῖο διαφέρει ἐν τοῖς ἀκριβῶς ἀναγινώσκουσ[ιν].

sigma 166 σοῖο μὲν γάρ ἐστιν ἔναρθρος ἀντωνυμία, οἷον (Hom. Il. xxiv 486)· 'μνῆσαι πατρὸς σοῖο, θεοῖς ἐπιείκελ' Ἀχιλ[λεῦ]'· σημαίνει γὰρ τοῦ σοῦ πατρός. ἡ δὲ σεῖο ἀσύναρθρος (ibid. 686) 'σεῖο δέ κε ζωοῦ καὶ τρὶς τόσα δοῖεν ἄποινα', 〈ἀντὶ «σοῦ ζῶντοσ»〉, οὐκέτι «τοῦ σ[οῦ] ζῶντος». καὶ φυλάσσεται ταῦτα παρ' Ὁμήρῳ. σκῶμμα γελοίου καὶ εὐτραπελισμοῦ καὶ γεφυρισμοῦ διαφέρει.

sigma 167 σκῶμμα μὲν γάρ ἐστι τὸ ἐπὶ διασυρμῷ τοῦ πέλας λεγόμενον οἱονεὶ σκέμμα· γελοῖον δὲ τὸ ἐπὶ διαχύσει τῶν ἀκροωμένων, χωρίς τινος ὕβρεως· εὐτράπελον δὲ τὸ μετὰ σεμνότητος χαριέντως λεγόμενον—εἴρηται δὲ παρὰ τὸ εὖ τρέπεσθαι τὸν λόγον—· γεφυρισμὸς δὲ ἀπὸ τοῦ ἐν Ἀθήνησιν ἐπὶ τῶν γεφυρῶν 〈ἐπιγράφειν〉 ἤτοι μέτρα ἢ καὶ δίχα μέτρων διασυρμούς τινων περιέχοντα. στῆναι καὶ σταθῆναι διαφέρει.

sigma 168 τὸ μὲν γὰρ κατὰ προαίρεσιν ἰδίαν γίνεται, τὸ δὲ σταθῆναι ἐκ τῆς ἄλλου προαιρέσεως, οἷον· ἔστη ὁ ἄνθρωπος δι' ἑαυτοῦ, ὁ ἀνδριὰς δὲ ἐστάθη ὑφ' ἑτέρου. σίσυρα καὶ σίσυρις διαφέρει, ὡς Ἐρατοσθένης διαστέλλει (fr.

sigma 169 125 Str.). σίσυρα〈ν〉 μὲν γὰρ λέγει στέγαστρον αἰγείων δερμάτων τετριχωμένων, σίσυριν δὲ τὸ ἐκ τῶν κῳδίων ῥαπτόμενον ἀμπεχόνιον. ἀρχὴ τοῦ τ τύραννοι καὶ βασιλεῖς διαφέρει.

tau 170 τύραννοι 〈δὲ καὶ〉 ἐπὶ βασιλέων ἐτάττοντο. Ἡρόδοτος (i 6, 1) ἐπὶ Κροίσου 'τύραννος δὲ ἐθνέων', καὶ προβὰς (i 26, 1) 'τελευτήσαντος δ' Ἀλυάττεω διεδέξατο τὴν βασιλείαν'. τροχὸς ὀξυτόνως ὡς σοφὸς καὶ τρόχος βαρυτόνως ὡς νόμος διαφέρει 〈παρ' Ἀττικοῖσ〉.

tau 171 τροχὸς μὲν γὰρ ὁμοίως ἡμῖν φασιν ὀξυτονοῦντες· τρόχους δὲ ὡς λόγους τοὺς δρόμους. Εὐριπίδης ἐν Μηδείᾳ (46) 〈 〉· ὡς γὰρ λέγω / λόγος, πλέκω / πλόκος, φέρω / φόρος, οὕτω καὶ τρέχω / τρόχος. τρίετες βαρυτόνως καὶ τριετὲς ὀξυτόνως διαφέρει Πτολεμαῖος ὁ Ἀσκαλωνίτης (p.

tau 172 61 Baege). βαρυτονούμενον μὲν γάρ ἐστιν ἐπὶ χρόνου· δι' οὗ καὶ Ὅμηρός φησιν (Od. ii 106 xxiv 141)· 'ὣς τρίετες μὲν ἔληθε δόλῳ'. ἐὰν 〈δὲ〉 ὀξυτονῆται «τριετές», ὡς εὐφυές, «τὸ παιδίον». τεῖχος καὶ τειχίον διαφέρει.

tau 173 τεῖχος ἐπὶ πόλεων, τειχίον ἐπὶ ἐπαύλεων. τίτθη καὶ τιθηνὸς διαφέρει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

tau 174 Ἀριστοτέλης γοῦν ἐν τῷ Περὶ γονέων φησίν (Ar. Byz. fr. 296 Sl.)· ‘τίτθαι μὲν ἀπὸ 〈τοῦ τὸ〉 στῆθος παρέχειν 〈τὰσ〉 τροφούς· τιθηνοὶ δὲ αἱ τὸν ἄλλον πόνον ἀναδεχόμεναι· λέγω δὲ περιφέρειν, προ〈σ〉παίζειν, ἀποπλύνειν, λούειν κατὰ τὴν μίξιν καὶ τῆς ἄλλης τροφῆς τῆς μετὰ τὸν ἀπογαλακτισμὸν πάσης ἐπιμελείας ἔχειν‘. τιμωρεῖν καὶ τιμωρεῖσθαι διαφέρει.

tau 175 τιμωρεῖν μὲν γὰρ τὸ τοῖς ἀδικουμένοις βοηθεῖν, τιμωρεῖσθαι δὲ τὸν ἀδικήσαντα· τιμ[ω]ρ[ὸς] Πατρόκλου Ἀχιλλεύς, τιμωρεῖται δὲ Ἕκτορα. τοὔνεκα καὶ οὕνεκα διαφέρει.

tau 176 τὸ μὲν γάρ ἐστι τούτου ἕνεκα, τὸ δὲ οὕνεκα διότι. Καλλίμαχος δὲ ἥμαρτεν ἐν Ἑκάλῃ (fr. 232 Pf.), δέον εἰπεῖν οὕνεκα, τοὕνεκα εἰπών. τήθη καὶ τηθὶς διαφέρει.

tau 177 τήθη μὲν γάρ ἐστιν ἡ μάμμη, τηθὶς δὲ ἡ τοῦ πατρὸς ἢ τῆς μητρὸς ἀδελφή, ὡς Ἀριστοτέλης (Ar. Byz. fr. 227 Sl.). ἀρχὴ τοῦ υ ὑποψία ὑφοράσεως διαφέρει.

upsilon 178 ὑποψία μὲν γάρ ἐστι κακοῦ τινος ὑπόνοια, ὑφόρασις δὲ δόξα ἐπὶ τὸ χεῖρον. ὑπόσχεσις ἐπαγγελίας διαφέρει.

upsilon 179 ὑπισχνεῖται μὲν γὰρ ὁ τὸ ἀξιωθὲν διδόναι θέλων· ἐπαγγέλλεται δὲ ὁ δίχα παρακλήσεως παρέχειν τι βουλόμενος. χρὴ οὖν παρατηρεῖν. ἀρχὴ τοῦ φ φλαῦρον καὶ φαῦλον διαφέρει.

phi 180 φλαῦρον μὲν γάρ ἐστι τὸ μικρὸν καὶ κοῦφον κακόν, φαῦλον δὲ τὸ μέγα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org